## 2*.

## Τοῦ νομοφύλακος Ἰωάννου διακόνου τοῦ Εὐγενικοῦ μονῳδία ἐπὶ τῇ ἁλώσει τῆς μεγαλοπόλεως.

Ὦ Χριστὲ βασιλεῦ, οἴμοι, ὦ Χριστὲ βασιλεῦ τῶν ὅλων, ὦ περὶ ἧς δεδοξασμένα ἐλαλήθη τοῦ μεγάλου βασιλέως θεοῦ πόλις. Πάναγνε θεομῆτορ, ποῦ ἡ σὴ μεγαλώνυμος καὶ πολυπόθητος πόλις; ποῦ ὁ τῆς γῆς ὀφθαλμός, τὸ τοῦ γένους ἔρεισμα, τῆς οἰκουμένης τὸ ἄγαλμα; Οἴμοι. Εἶτα καὶ τολμῶ λέγειν; ἔπειτα καὶ τὸ δεινὸν ἐξαγγέλλειν; Καὶ πῶς οὐκ ἐξέστην τοῦ νοῦ; Καὶ πῶς ἰσχύω φθέγγεσθαι καὶ ζῆν ἀνέχομαι καὶ πῶς ἔτι φέρω καὶ πνεῖν καὶ αἰσθάνεσθαι καὶ φῶς ὁρᾶν;

Ὦ τῆς ἡμῶν σωτηρίας ἔφοροί τε καὶ φύλακες, ἱερῶν ἀγγέλων πληθύς, πῶς τὴν φρουρὰν ἐκλελοίπατε; Ὦ πόσον τὸ τῶν ἡμετέρων ἀσεβημάτων, ἡλίκον τὸ τῶν ἀνομημάτων πλῆθος, ὃ τὴν ἡμετέραν παρεμβολήν, ὃ τὴν τῶν ἁγίων ἐπίσκεψιν, ὃ πρὸ ὑμῶν τὴν θείαν ἡμῶν ἀποστῆσαν πρόνοιαν ἕτοιμον ἡμᾶς ἐκδέδωκε θήραμα τοῖς ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνοις δαίμοσι καὶ δι᾽ αὐτῶν τοῖς παλαμναίοις ἐχθροῖς. Ὦ θεοῦ μερίς, ὦ Χριστοῦ κληρονομία, οἷον πεπόνθαμεν; Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ ἢ μᾶλλον θαλάσσης ἅλας καὶ τῇ κεφαλῇ μου πηγὴν ἢ τὸ πλέον ποταμοὺς ἀενάους δακρύων, καὶ κλαύσομαι τὴν θυγατέρα Σιὼν ὅσον ἄξιον; Ὦ Χριστοῦ σφαγὴ καὶ φρικτὸς ὑπὲρ ἡμῶν θάνατος καὶ δεσποτικὸν πανάγιον αἷμα καὶ τροπαιοφόρον ὅπλον, σταυρὲ τίμιε.

Ἥλιε πάντα ὁρῶν, πῶς ἠνέσχου τοσοῦτον ἰδών, πῶς, εἰ μὴ κατέγνως ἀειφυγίαν σαυτοῦ καὶ τὸν ἅπαντα αἰῶνα σκότῳ καὶ μυχοῖς γῆς καὶ ἀφανείᾳ σεαυτὸν παρεδίδους, ταὐτὸ γοῦν οὐκ ἐπεπόνθεις οἷον ἐπὶ τῷ σωτηρίῳ πάθει μεσούσης ἡμέρας δίκαιόν τι πληρῶν κακουμένοις

* Περιλαμβάνεται ἐν τῷ κώδικι Suppl. grec 678 τῆς Ἐθνικῆς βιβλιοθήκης Παρισίων, φ. $115^{α}$-$118^{α}$, γεγραμμένῳ τὸν ιε᾽ αἰῶνα.. Ἐν τῷ κώδικι τεταραγμένη ἡ τάξις τῶν φύλλων, ἀναγνωστέων κατὰ τὴν ἑξῆς σειρὰν $115^{α-β}$, $117^{α-β}$, $116^{α-β}$, $118^{α}$.

Ἐν τῇ ἐπιγραφῇ: μονο$^{δ''}$ 1. περῒῆς 5. ἐξαγγέλειν 6. ζεῖν 9. ἐκλοίπατε· ὦ 12. ἀπαρχῆς 16. ἀεννάους 20. ἰδῶν 22. ταυτὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ τοῖς Χριστοῦ μέλεσι δηλῶν τῇ οἰκουμένῃ τὸ πάθος καὶ κηρύττων τῇ κτίσει τὴν συμφορὰν καὶ περιαγγέλλων τῷ σχήματι τὸ δεινὸν καὶ τῇ οἰκείᾳ ζοφώσει τὴν τῶν ψυχῶν ἡμῶν σκοτομήνην ἐκτραγῳδῶν; Ἀλλ' ὑπὲρ μὲν τοῦ πάλαι Ἰσραὴλ τοσαύτην ὑπακοὴν ἐνεδείξω, τῷ τοῦ Ναυῆ συμμαχῶν, ὡς καὶ τῆς φορᾶς καὶ τοῦ δρόμου στῆναι καὶ πρὸς τὴν συγκοπὴν τῶν ἐναντίων τοσοῦτόν τι συμβαλέσθαι, ἐνταῦθα δὲ τοῖς ἐχθροῖς ἔφανας τοῦ Χριστοῦ καθ' ἡμῶν, τοῖς ἐναντίοις ἤστραψας κατὰ τῆς πόλεως τοῦ θεοῦ. Καὶ πῶς οὐκ ἔφριξας, οἴμοι, τῷ πάθει ἢ τί ποτε ἀνέσχες μέλλων ὄψεσθαι τοσαῦτα κακά; Τί μὴ ἐδονήθη τὸ πᾶν; Πῶς οὐ συνέπεσεν οὐρανός; Πῶς οὐκ ἐσείσθη πᾶσα
156 γῆ; || Πῶς οὐκ ἐσχίσθησαν καὶ νῦν πέτραι; Μνήματα ἀνεῴχθη, σώματα ἁγίων ἠγέρθη καὶ πρὸ καιροῦ.

Ὢ πάντα ἰδὼν καὶ παθὼν καὶ ἀκούσας ἐγώ, ὢ δύσμορος, ἐφυλαττόμην ἐς τόδε καιροῦ ὀψόμενος, θρηνήσων, πενθήσων τὴν κοινὴν συμφοράν. Πῶς οὐ καταράσομαι τὴν ἡμέραν ἐν ᾗ ἐγεννήθην πολλῷ τοῦ Ἰὼβ δικαιότερον;

Εἶτα καὶ πῶς οὐ διέστης ἡμῖν, ὦ γῆ, ἢ πῶς ἔτι καὶ νῦν οὐ διίστασαι; ἵν' ἐπειδὴ θεία καθ' ἡμῶν ἐξενήνεκτο ψῆφος, πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε, μηδὲ τῆς ἄλλοσε λοιπὸν μηδ' ἐρήμου καὶ ἀοικήτου μηδὲ πετρῶν ἠλιβάτων μηδ' ἡστινοσοῦν ἁπλῶς, ἀλλὰ σκότου καὶ ἀφανείας καὶ μυχῶν Ἅδου καὶ ἀπωλείας ὦμεν ἄξιοι. Οὐρανέ, τὰς πύλας διαπετάσας, δέχου καὶ τὰς ἡμετέρας πρὸς ταῖς τῶν κατασφαγέντων ψυχαῖς, ὡς οὐκέτι ζῆν οὐδεὶς οὐδὲ πρὸς βραχὺ φέρομεν. Τίσιν ὀφθαλμοῖς καὶ βλέπειν ἀνεχόμεθα, ποίοις ἀκούειν ὠσί, μυκτῆρσι δὲ τίσι καὶ οἵῳ τῷ ἄσθματι τοῦ ἀέρος σπᾶν, γλώττῃ δὲ ποίᾳ καὶ χείλεσιν οἵοις διάραντες πρὸς ὕμνον θεοῦ χρησόμεθα; χερσὶ δὲ τίσιν ἀλλήλους δεξιωσόμεθα; Ἐσκοτίσθημεν· κατεβροντήθημεν· ἐκπεπνεύκαμεν· ἀπηνεμώθημεν· κατεψύχημεν· οὐδὲν τῶν ἐκνενευρισμένων καὶ καθ' ἅπαξ ἀπεγνωσμένων ἀπέχομεν. Ὄρη, πέσετε ἐφ' ἡμᾶς· οἱ βουνοὶ καλύψατε ἡμᾶς· ἡ τοῦ Κυρίου προαναφώνησις Μακάριαι αἱ μὴ

2. κτίσει ἐκ τοῦ τὸ πρῶτον γραφέντος κτήσει τὸ σχήματι 4. τοσαύτην 6. τοσοῦτον 12. προκαιροῦ 13. ακούσας 15. ἣ 17-18. δι'ἵστασαι 18. ἐξανεκτο 19 (καὶ 20). μὴδε (καὶ 20). μὴδ' 20. ἁπλῶς 23. ζῆν ἐκ του τὸ πρῶτον γραφέντος ζεῖν 24. οφθαλμοῖς 25. ποία ἐκ τοῦ ποίοις 28. ἀπηνεώθημεν 29. καθάπαξ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επ. Αρχ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τεκοῦσαι στεῖραι καὶ μαστοὶ εὐδαίμονες οἳ οὐκ ἐθήλασαν. Καὶ τί γὰρ ἔμελλον, χάρμα τοῖς ἀσεβέσι καὶ ἡμῖν ὄνειδος;

Δότε μοι, πηγαὶ καὶ λίμναι καὶ ποταμοί, δάκρυον ὁπόσον καὶ βούλομαι. Εἰ δὲ καὶ θρόμβοις αἵματος, εἰ δὲ καὶ σταλαγμοῖς τισι φόνου θρηνεῖν ἐνῆν καὶ συγγράφειν τὸ δεινόν, οὐκ ἂν οὐδ' οὕτω τι προσῆκον ᾤμην τῇ συμφορᾷ πληροῦν. Νάματα διειδῆ καὶ πότιμα λειμῶσι καὶ παραδείσοις ἐμφαιδρυνόμενα Μερᾶς ἁπάσης καὶ θαλαττίου παντὸς πικρότερον νάετε, τὴν ἡμετέραν ἐκδηλοῦντα πικρίαν ἢ μηκέτι τερπνοῦ τινος ἀξίους ἡμᾶς παριστῶντα. Ἀέρος χύσις, τῶν πρώτων ἡμῖν αἰσθήσεων ὁ πορθμεύς, μήτε ὄψει πρὸς θέαν, μήτε ἀκοῇ πρὸς φωνάς, μήτε ὀσφρήσει πρὸς εὐωδίαν τινὰ συνεπικούρει, ἀλλὰ συσκοτίσθητι τοῖς ἐξορωμένοις καὶ συννεκρώθητι τοῖς νενεκρωμένοις καὶ συμφθάρηθι τοῖς διαφθαρεῖσιν.

Οὐρανὲ καὶ τὸ αἰθέριον σῶμα, τί τὸν τῶν ἀστέρων ‖ περιφέρεις f.117a χορόν; τί τὴν ἀκάματον ἐπὶ διαμονῇ τῶν ὅλων ἀνύεις στροφήν τε καὶ δίνησιν, τοῦ καὶ καλλίστου τῶν ὄντων ἐξαιρεθέντος ἐκ γῆς ἢ ὅτι τάχα τὸ κακὸν τέλος ἐγγύς, μένεις ἔτι δουλεύων τῇ φθορᾷ καὶ συστενάζων ἡμῖν; Κρεῖττον ἦν κατακλυσμῷ ἢ πρηστῆρσι παραδοθῆναι ἢ τὴν γῆν διαιρεθεῖσαν συσχεῖν καὶ πανώλεις ἡμᾶς αὐτῷ πατρίδος ἐδάφει γενέσθαι, ὃ πάλαι συχναὶ πόλεις πεπόνθασιν, ἢ ζῶντας τοιοῦτον ἰδεῖν καὶ παθεῖν καὶ τοῖς ἐχθροῖς τῆς πίστεως καταπαίζεσθαι. Τί μὴ ἐξέτεμεν ἡμᾶς δρεπάνη τις πετομένη καὶ ῥομφαία ἐστιλβωμένη; τί μὴ κατέσφαξεν ἡμᾶς ἡ πικρῶς κατεσθίουσα καὶ ἡ ἐν τῷ οὐρανῷ μάχαιρα, σφάζειν, ἐξουθενεῖν, ἀτεκνοῦν κελευομένη, ἕως σαρκῶν καὶ μυελῶν καὶ ὀστέων μὴ φείδεσθαι, εἰ τοῦτο ἦν ἡμῖν ἅπαν ἡ τῶν ἀσεβῶν;

Οἴμοι ποῖόν σου πρῶτον ἀποκλαύσωμαι, χρυσῆ μεγαλόπολις πόλις, τί δεύτερον θήσωμαι τῶν καλῶν, τί δὲ τρίτον πενθήσω καὶ τί τέταρτον καὶ πέμπτον ἢ τί πολλοστὸν καὶ ἐφ' ἑξῆς λογίσωμαι; Τὸν μέγιστον νεών, τὸν ἐπὶ γῆς οὐρανόν, τὸν ἄλλον παράδεισον ἢ τὴν τῶν λοιπῶν ἀγλαΐαν ἢ τὴν πανταχόθεν περιλάμπουσαν καὶ διήκουσαν

1. στῆραι οἷ 5. θρηνεῖν ἐκ τοῦ τὸ πρῶτον γραφέντος θρο... 6. δῖειδὴ ἐκ τοῦ τὸ πρῶτον γραφέντος δῖηδὴ 9. τινὸς 10. ἀκοὴ φωνᾶς 12. συνεκρώθητι νενεκρωμένοις ἐκ τοῦ τὸ πρῶτον γραφέντος νεκεκρωμένοις 16. ἐξαιρεθέτος 25. ἡ 26. ποῖον ἀποκλαύσομαι 27. θήσο 28. λογίσομαι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ψ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀστραπὴν καὶ τὸ ἑκασταχόσε κάλλος οἷά τινος ἀρχαίας νύμφης καὶ βασιλίδος κἂν τῇ ῥυτίδι παραφαινόμενον; Ὦ τρισάθλιον γένος ἡμεῖς, οἷον πεπόνθαμεν. Ὦ θεοῦ πρόνοια, ὦ κριμάτων ἄρρητον βάθος. Ὦ σῶτερ καὶ λόγε θεοῦ καὶ θεέ, ἐδάκρυσας μὲν ἐπὶ τῇ πάλαι Ἱερουσαλὴμ, ἀτενίσας αὐτῇ καὶ προειδὼς τὰ ἐπ' αὐτῇ κακά· ὁ πάντα εἰδὼς τὴν δεινὴν ἐπένθησας καταστροφήν, ὁ συμπαθὴς προςελαύνων αὐτῇ. Ἐνταῦθα δέ, τίς ποτε λόγος ἐν οὐρανῷ; Πῶς καθ' ἅπαξ ἐγκατέλιπες ἡμᾶς ὁ ἀεὶ ὑπὲρ ἡμῶν παράκλητος; Ποῦ οἱ θησαυροὶ τῆς εὐσπλαγχνίας τῆς σῆς; Ποῦ ἐκενώθη τὸ τῆς μακροθυμίας ἀνεξιχνίαστον πέλαγος; Πῶς ἔθου εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς; Πῶς οὐδεμία φειδώ, εἰ μὴ γοῦν δι' ἡμᾶς, ἀλλά γε διὰ τὸ ὄνομά σου, ἵνα μὴ βεβηλωθῇ ἐν τοῖς ἔθνεσιν, ὅπερ ἀνομοῦντι πάλαι διὰ προφήτου τῷ Ἰσραὴλ ἐπηγγείλω;

Ὦ δίκαιε Κύριε, παρακαλέσαι μὲν τὸν πατέρα τότε μικρὸν πρὸ τοῦ πάθους καὶ παραστῆσαί σοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων ῥᾳδίως ἐξόν, ὁ ἀγαθὸς παρῃτήσω, πληρώσων ἄρα τὰς γραφὰς καὶ
p.1176 θριαμβεύσων τὴν ἁμαρτίαν καὶ τὴν τοῦ κόσμου σωτηρίαν ‖ κατεργασόμενος. Ἐνταῦθα δέ, τίς ἡ ἀπαραίτητος ψῆφος; Πόθεν ἡ τοσαύτη καθ' ἡμῶν ὀργή, ἡ πρὸ τῆς κοινῆς ἀναστάσεως κατάπτωσις καὶ πρὸ τῆς συντελείας τοῦ κρατίστου τῶν φαινομένων καταστροφὴ καὶ πρὸ τῆς κρίσεως κρίσις καὶ πρὸ τῆς μελλούσης αἰωνίου κολάσεως οὐδὲν ἀμείνων ἐκείνης; Ὦ πικροῦ ποτηρίου πλήρους ἀκράτου δικαίου θυμοῦ. Ὦ βελῶν τοῦ ἀπαθοῦς, ἐξεργασθέντων τοῖς καιομένοις ἡμῖν. Ὦ μυστηρίου φρικτοῦ φρικτὴ καὶ δύςλυτος ἢ καὶ ἀθεράπευτος κρυφιότης.

Ὦ χριστώνυμον φῦλον ὡς φύλλον ἤδη καὶ ἄνθος καταρρυὲν ἢ ὡς φῶς χρυσῆς λυχνίας ἀποσβεσθέν, ἅγιον ἔθνος ἐκδεδομένον τοῖς ἐναγέσιν ἔθνεσι, βασίλειον ἱεράτευμα οὐκέτι χριστιανικῶς βασιλευόμενον. Ἰδοὺ ἀφείθη ὁ οἶκος ἡμῶν ἔρημος. Νῦν ἐξεδόθη τοῖς κυσὶ τὰ ἅγια, φεῦ, οἱ μαργαρῖται τοῖς χοίροις καὶ χοίρων ἀμέλει χείροσι διὰ τοὺς ἀναξίους, διὰ τοὺς οὐδὲν κτηνῶν, ὡς ἔοικε, πολιτευομένους ἄμεινον.

5-6. ἱλῆμ  6. προςελαύνων ἄνωθεν δ' αὐτοῦ χειρὶ νεωτέρᾳ ἀποδιώκων  7. καθάπαξ  15. παραστῆσαι  18. ἀπαραίτητος ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀπαρέτητος  22. ἐκείνης ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐκείνοις  24. δύςλυτος ἄνωθεν δ' αὐτοῦ χειρὶ νεωτέρᾳ δύσκολον νὰ λυθῇ  28. Ἰδοῦ

Ε. ΓΑΣΤΗ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Οἴμοι, διὰ τὸ ἔργα ἐθνῶν ἐπιδείκνυσθαι παρεδόθημεν τοῖς ἔθνεσι· διὰ τὸ μηδὲν ἔλαττω τῶν Ἰουδαίων ἐκείνων τολμᾶν εἰς διαρπαγὴν ἐξεδόθημεν. Οἴμοι, νεῦρον σιδηροῦν ὁ τράχηλος ἡμῶν, σκληροὶ τῷ ὄντι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τῷ φρονήματι. Ποσάκις ἐπατάχθημεν, καὶ οὐ συνήκαμεν. Ποσάκις ἐμαστιγώθημεν, καὶ οὐκ ἐπεστρέψαμεν. Αὖθις πατρικῶς ἐπαιδεύθημεν, καὶ οὐκ ἐσωφρονίσθημεν. Πάλιν διαφόρως πληττόμενοι, τοῖς αὐτοῖς ἐπεμένομεν. Οὐκ ἔδει παιδαγωγεῖσθαι ἡμᾶς ταῖς μυρίαις συνεχέσι πληγαῖς, λοιμοῖς καὶ λιμοῖς καὶ σεισμοῖς καὶ ἐμπρησμοῖς καὶ πυκναῖς τῶν βαρβάρων ἐπιδρομαῖς καὶ λεηλασίαις, προαναφωνοῦσι καὶ ἀπειλοῦσιν ἡμῖν ὃ πεπόνθαμεν; Οὐκ ἔδει σωφρονίζεσθαι τῷ κατὰ τὴν Θεσσαλονίκην ὑποδείγματι, τῷ κατὰ τὸν ἐν Πελοποννήσῳ πρώην ἰσθμόν. τῷ τῶν Λημνίων κακῷ, πλεῖν ἢ τὰ πάλαι τούτοις ὑμνούμενα; Ἐῶ γὰρ Ἰλλυριῶν καὶ Τριβαλλῶν καὶ Παιόνων καὶ Κυπρίων καὶ Γότθων καὶ Λεσβίων ὅσους ἐν ἠπείρῳ, ὅσους ἐν νήσοις, ὅσους ἁπανταχοῦ γῆς μυρίους ἀνδραποδισμούς.

Ὦ μέχρι τοῦ νῦν σεπτόν, ἱερὸν καὶ ἀγγελικὸν σχῆμα, ἐν πάσῃ προδέδοσαι τοῖς μιαιφόνοις βλασφημίᾳ. Ὦ ἱερωσύνης μυστικῆς δύναμις. Ὦ τῆς ἐκκλησίας μυστήρια. Ὦ τὰ σεμνὰ Χριστιανοῖς ὡς ἠμαύρωται, ὡς κατηθάλωται, ὡς ἠχρείωται διὰ τὴν ἀναξιότητα ἡμῶν. Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· ὄνειδος ὄντως ἐγενήθημεν τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.

Τί πλέον θρηνήσω, τὰ κοινὰ ἢ τὰ οἰκεῖα κακά; Ὦ πικροῦ πένθους ἐκείνου, ‖ κατὰ κορυφὴν τὴν Πόλιν ὅλην ἐπιλαβόντος. Περιέβαλον ἀλλήλους οἱ μιᾶς οἰκίας, οἴμοι· περιεπτύσσοντο τὰ λοίσθια τοὺς φ.116
φιλτάτους. Ὦ τέκνων μητέρες ἀθλίων ἄθλιαι. Ὦ νήπια καταρρηγνύμενα, τῶν μητέρων ἐξηρτημένα. Ὦ νέων ἀκμὴ ἀπανθήσασα, γηραιῶν σεμνότης ἀτιμασθεῖσα, ἐλεεινὴ βρεφῶν ἡλικία. τῶν μαζῶν ἀποσπώμενα. Ὦ ἡ πικρῶς θερισθεῖσα πληθὺς καὶ ἡ περιλειφθεῖσα πικρότερον. Ὦ παρθένων ὄψις καὶ τῶν ὑπὸ ζυγὸν ὅση κοσμία μὴ λίχνοις καὶ περιέργοις ὄψεσι μόνον, ἀλλὰ καὶ πᾶσι παντελῶς ἄθικτος,

3. σκληροὶ ἐκ τοῦ τὸ πρῶτον γραφέντος σκηροὶ  τῶόντι  6. οὐκεσωφρονίσθημεν  12. κακῶν  13. ἰλυριῶν  τριβαλῶν  17. ἱεροσύνης  23. κατακορυφὴν  24. τὰ λοίσθια ἄνωθεν δ' αὐτοῦ χειρὶ νεωτέρᾳ μικρὰ παιδία  25. καταρηγνύμενα  27. ἀτιμασθεῖσα ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀτημασθεῖσα  28. περιφθεῖσα  29. ὑποζυγὸν  30. πᾶση

Εργ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οἵους ἀλάστορας ἐφ' ὑμᾶς εἴδετε. Οἴμοι· οἵᾳ πομπῇ, οἵῳ θριάμβῳ ἐταμιεύεσθε. Φεῦ τῆς ὕβρεως, φεῦ τῆς ἀνοχῆς τοῦ θεοῦ.

Ὦ παντάνασσα Θεοτόκε, κυρία τῶν ὅλων κτισμάτων, ὑπὲρ λόγον ἡγιασμένη καὶ ὑπὲρ ἔννοιαν ἀμόλυντε θεοκυῆτορ καὶ ὑπὲρ φύσιν ἀειπάρθενε γύναι, τί τοσοῦτόν κατέγνως τῶν ἀθλίων γυναικῶν, αἷς ἀνὰ στόμα διὰ παντὸς τὸ σὸν πολυύμνητον ὄνομα; Ὑπὲρ τὸ ἐν ῥισὶ πνεῦμα καὶ ὑπὲρ τὴν ἐν καρδίᾳ ζωὴν ἡ σὴ μνήμη καὶ μεγάλη ἡ πρὸς σὲ πίστις καὶ μετὰ τὸν ἀπορρήτως ἐκ σοῦ τεχθέντα σωτῆρα σωτὴρ καὶ πολιοῦχος καὶ μετὰ τὸ κόσμου καθάρσιον αἷμα ἡ σὴ χάρις καὶ σκέπη καὶ ἡ διὰ σοῦ τῆς ἁγίας εἰκόνος τῆς σῆς. Πῶς οὐκ ἐφείσω τῶν ὁμοφύλων; Πῶς ἀπεκλείσαμέν σου τὰ φιλάνθρωπα σπλάγχνα; Τοῦτο ἦν ἄρα τῶν Βλαχερνῶν ὁ περιώνυμνος καὶ πάγκαλός σου ναός, ὑφ' ἡμῶν αὐτῶν, φεῦ, τῶν ἀθλίων ἐμπρησθείς. Ἀπέλιπες ἄρα καὶ τὴν Πόλιν ἤδη καὶ τοὺς νεὼς ἔκτοτε, τὴν ἐσομένην ἀκοσμίαν προγνοῦσα ἢ καὶ τὸ ὑπερφυῶς ἡμῶν τάχα βδελυξαμένη φιλομόχθηρον. Ἀλλ' ὁ μὲν σὸς υἱὸς καὶ θεὸς ἡμῶν οὐδὲ τὴν μοιχαλίδα ποτὲ προσαχθεῖσαν αὐτῷ συμπαθείᾳ κατέκρινεν, ἀλλὰ καὶ τὴν μετὰ μύρου πόρνην προσεδέξατο καὶ τὴν Χαναναίαν κατελεήσας τὴν πίστιν αὐτῆς ὑπὲρ τὴν τοῦ Ἰσραὴλ τεθαύμακεν. Ἐπὶ δὲ ταύταις οὐδεὶς οἶκτος, οὐδὲν οὐδαμόθεν ἔλεος;

Ὦ σοφία καὶ ἀρετὴ καὶ σεμνείων πλῆθος καὶ κάλλος καὶ λόγου ταμιεῖα καὶ παιδείας ἀφορμαὶ καὶ φιλοσοφίας ἑκατέρας ἀποθῆκαι καὶ βίβλων ἑσμός, ὅσαι τε ἐν Ἕλλησι καὶ τῆς ἔξω μοίρας καὶ ὅσαι διδασκάλων θεολόγων φιλοπονία. Ὦ σκευῶν μυστικῶν καὶ ἀθεάτων τοῖς πολλοῖς. Ὦ ἱερῶν λειψάνων· ὢ εἰκόνων ἁγίων κατὰ γῆς ῥιπτουμένων καὶ πατουμένων καὶ τοῦ ἑαυτῶν ἀφῃρημένων κόσμου σὺν γέλωτι. Φεῦ τῶν ἀδύτων, φεῦ τῶν θείων μυστηρίων. Πῶς φρίξω, πῶς σου, Χριστέ, θαυμάσω τῆς μακροθυμίας τὸ ἄπειρον; Ὦ θυσια||στηρίων
φ.116b ἀψαύστων, οἷς ἐπηλάλαξε λυσσῶδες στόμα καὶ βέβηλον, ἤπου καὶ ἐχόρευσε καθ' ἱερῶν ἁγίων βάρβαρος ἐναγής, καὶ ἐπὶ τον μέγαν ναόν,

1. οἵους 4. ὑπερφῦσιν 5. γῦναι 5-6. ἀναστόμα διαπαντὸς 6. τοσὸν 8. τῶν 14. ἔκτοτε ἔγραψα: ἐκ τούτου τῆς τελευταίας συλλαβῆς διορθωθείσης εἰς τότε ἀλλὰ μὴ διαγραφέντος τοῦ προηγουμένου τοῦ 19. τεθαύμακεν ἐκ τοῦ τὸ πρῶτον γραφέντος τεθαύμασεν ἐπὶ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐπεὶ 21. κάλος 23. τὲ 29. ἤπου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΙΩΑΝΝΙΝΑ 2006

φρίξον ἥλιε, ἡ πικρὰ καὶ μιαρὰ καὶ δύςφημος ἐξερράγη βοή, καὶ ἐν τόπῳ ἁγίῳ τὸ τῆς ἐρημώσεως καὶ νῦν ἔστη βδέλυγμα.

Βαβαὶ τῆς ἐμῆς συμφορᾶς. Φεῦ τῆς τῶν πολλῶν ἀπονοίας. Ἀπέγνωσται τὰ τῆς πίστεως. Ἀπέγνωσται τὰ καθ' ἡμᾶς. Ὡς ἐγγὺς ἡ τοῦ ἀποστάτου τυραννίς· ὡς εἰς πλάνην καὶ τοῖς ἐκλεκτοῖς κίνδυνος. Ὢ πῶς προφέρειν ὅλως ἀνέχομαι τὸ δεινόν; Τίς ποτε τοσοῦτον ἐξεδέχετο κακόν; Τίς τοσαύτην προςεδόκησε συμφοράν; Ἀκούσας πρῶτον ἐπὶ πολὺ διηπίστουν καὶ ληρεῖν καὶ παραπαίειν ὁ μάταιος καὶ βλασφημεῖν ᾤμην τοὺς λέγοντας ἢ ἀδύνατα ἀπαγγέλλειν, ὥςπερ ἂν εἴ τις τὸν οὐρανὸν ἐπιδραμεῖν ἔλεγε τὸν παλαιὸν ἀποστάτην σὺν τοῖς ὑπ' αὐτὸν δαίμοσι καὶ τὴν ἀγγελικὴν πατρίδα, τὴν νοερὰν ἐκείνην καὶ ἀπαθῆ καὶ ἄϋλον κατοικίαν, τὴν οὐράνιον Ἱερουσαλήμ, ἐξανδραποδισάμενον, ἑλεῖν καὶ σφαγῆς δή τινος καὶ αἱμάτων καὶ θρου̃ καὶ ἀκοσμίας τὰ ἐκεῖσε πληρῶσαι. Ὢ πικρᾶς ἡμέρας, ἐν ᾗ τοσοῦτον ὤφθη τῇ κτίσει κακόν· ὡς ἀπόλοιτο ἐκείνη δικαιότερον ἧς ὁ δίκαιος κατηράσατο, μὴ λογισθείη ἐν ἡμέραις αἰῶνος, εἴη δὲ θεῷ καὶ ἀνθρώποις ἐπικατάρατος. Πάλαι μὲν καρδίαν τινὰ σεισθῆναι καὶ σαλευθῆναι τῆς θείας ἀκούω προτρεπομένης Γραφῆς καὶ ἀποστεῖλαι μὲν ἐφ' ᾧ παρελθεῖν τὰς θρηνούσας καὶ πρὸς τὰς σοφὰς ἐφ' ᾧ φθέγξασθαι, ῥυῆναι δὲ ἐξ ὀφθαλμῶν ὕδωρ καὶ τὰ βλέφαρα καταγαγεῖν δάκρυα, τοὺς βουνούς τε λαβεῖν κοπετὸν καὶ τὰ ὄρη θρῆνον. Ἐγὼ δὲ νῦν μὴ σεισθῆναι μηδὲ σαλευθῆναι μηδὲ φρίξαι καὶ τρομάξαι φημὶ μόνον καὶ συσταλῆναι, ἀλλὰ καὶ περιρραγῆναι καρδίας ἁπάσας καὶ ἐκραγῆναι χρεὼν εἶναι τῶν σπλάγχνων ἐκ δεινοπαθείας ἐσχάτης καὶ πᾶσαν κτίσιν εἰς ἓν γενομένην θρηνεῖν, οἷόν τινος νεκροῦ γεγονότος τοῦ καλλίστου τῶν ἐν τῇ κτίσει καὶ χολὴν πικρίας καί τινα μελαντηρίαν ἀποσταλάττειν καὶ θρόμβους ἱδρώτων καὶ ψεκάδας αἱματοέσσας ἢ μᾶλλον κρουνοὺς ὅλους ἐξ ἄκρας ἀγωνίας ἀπὸ παντὸς σώματος. Τοσοῦτο τῆς συμφορᾶς τὸ μέγεθος καὶ τοιούτων ἢ καὶ μειζόνων ἔτι παθημάτων καὶ ὀδυρμῶν δεόμενον.

Ὦ θεοστεφῶν βασιλέων μέγιστε καὶ φιλοχριστότατε Κωνσταντῖνε

4. τῆς ἐκ τοῦ τὸ πρῶτον γραφέντος τοῖς 8. ἐπὶπολύ 13. ἑλεῖν 18 (καὶ 19). ἐφῶ 21 (καὶ 22). μηδὲ σύσταλῆναι ἐκ τοῦ τὸ πρῶτον γραφέντος σπσταλῆναι 26 κτίσει ἐκ τοῦ τὸ πρῶτον γραφέντος κτήσει 29. παθημάτων κατὰ διόρθωσιν ἐξ ἀδιαγνώστου νῦν ἄλλης τὸ πρῶτον ἀρχῆς τῆς λέξεως

ἰσαπόστολε, ὁ μετὰ τὴν καλὴν ἐπίγνωσιν τῇ Χριστοῦ κληρονομίᾳ συναυξηθεὶς καὶ πρῶτος αὐξήσας ταύτην εἰς δύναμιν, ἥπου μέγαν γόον ἦρας ἐν οὐρανοῖς ..................................

....προφητικῶς εἰπεῖν ὡς μὲν ἔργον ἀκρατῶς ..ώσης βαρβαρικῆς δεξιᾶς· καὶ οἱ μὲν γεγόνασιν, οἱ δὲ ἔσονται, οἱ δὲ πανταχοῦ γῆς περιαλώμενοι τοὺς οἰκειοτάτους ἰχνηλατοῦντες καὶ τὰ φίλτατα, εἰ ἄρα καὶ τόδ' ἐξὸν, λύτροις ἀναληψόμενοι, διεσπαρμένοι καὶ διερριμμένοι καὶ αὐτοί, λαὸς οὕτως οἰκουμένης ξένοι καὶ πάροικοι.

Θυγατέρες Ἱερουσαλήμ, ὡς ἀπὸ θέας πικρᾶς ἐρχόμεναι, πρώην κεκοσμημέναι ὡς ὁμοίωμα ζῶν, αἱ ἐφ' ἑαυτὰς ἤδη καὶ τὰ τέκνα ὑμῶν κλαύσασαί τε καὶ κλαίουσαι καὶ διὰ βίου κλαύσουσαι, τί δὴ χρεὼν λέγειν ὑμῖν ἀμηχανῶ, τί δὲ εὔξασθαι δεινῶς ἀπορῶ. Τάχα δὴ ἄμεινον εἰ μὴ πτηνουμέναις ὑμῖν τὸ τοῦ μύθου καὶ γοερόν τι καὶ διωλύγιον ᾀδούσαις, ἀλλ' ἀποδενδρουμέναις καὶ λιθουμέναις σιγῇ σὺν ἡμῖν καταρρεῖν δι' αἰῶνος τὸ δάκρυον· ὃ δὴ πάλαι παθεῖν ἐνίας ἐπὶ μεγίσταις συμφοραῖς λέγεται.

---

3-4. Τὸ μὲν ἀρχαιόγραφον κείμενον τελευτᾷ κολοβὸν μετὰ τοῦ τέλους τοῦ φ. 116α, ἐν δὲ φ. 118α ἕπεται ἀκέφαλον τὸ τέλος, γεγραμμένον χειρὶ τοῦ Μηνᾶ Μηνωΐδου
4. ...ώσης τῶν πρὸ αὐτοῦ κεκαλυμμένων ὑπὸ κηλῖδος μέλανος 6. εἰ ἄρα εἰ ἄρα 7. τόδ' διερριμένοι 14. καταρρεῖν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ Π. ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. Καλλής Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## 3 *

## Μανουὴλ τοῦ Χριστωνύμου
## Μονῳδία ἐπὶ τῇ ἁλώσει τῆς Κωνσταντινουπόλεως.

Οἴμοι τίς δώσει μοι πτέρυγας ὡςεὶ περιστερᾶς καὶ καταπαύσομαι πετασθεὶς καὶ τῇ κεφαλῇ μου πηγὰς δακρύων καὶ κλαύσομαι τὴν οὐκέτ' οὖσαν Σιών, λέγω δὴ τὴν πρότριτα Πόλιν ἐξαφανισθεῖσαν ἡμῶν; Ἆρα σιγῇ τὸ πάθος καλύψω, ὥςπερ οἱ ἐξ ἀφανοῦς ἐπὶ τοῖς μεγίστοις καταπλαγέντες τὴν αἴσθησιν καὶ τὸ λοιπὸν ἐνεοὶ γεγονότες, ἢ χρήσομαι τῇ γλώττῃ πρὸς ὀδυρμοὺς καὶ τὰ εἰκότα τῷ καιρῷ μονῳδήσω; Ἀλλὰ τὸ μὲν πρῶτον παντὸς καὶ τῶν ἀψύχων μᾶλλον ἢ τῶν λόγου μετειληφότων ἐστί, καὶ εἴθε μετὰ τὴν ἀφόρητον ἐπενεχθεῖσαν ἡμῖν συμφοράν, μᾶλλον δὲ καὶ πρὸ ταύτης τὴν ἡμετέραν εἰς τὴν τῶν ἀψύχων μετηλλάξαμεν φύσιν. Τουτὶ γὰρ ἂν ἦν, οἶμαι, καὶ δίκαιον καὶ

* Σώζεται ὁλόκληρος ἐν τῷ κώδικι 11270 τῆς ἐν Βρυξέλλαις Βασιλικῆς βιβλιοθήκης, φ. 90α-95α, αἰῶνος ις' (B) καὶ ἐν τῷ ἑλληνικῷ κώδικι 8 τῆς Βιβλιοθήκης τῆς ἐν Οὐψάλῃ τῆς Σουηδίας Ἀκαδημίας, φ. 138β-146α, αἰῶνος ιε' τελευτῶντος (O). Ἐν δὲ τῷ Παρισιακῷ κώδικι 2077, φ. 257α-259β (Π) σώζεται μόνον μέρος ἀπὸ τῆς ἀρχῆς μέχρι τῶν λέξεων οἱ τληπαθεῖς ἡμεῖς . . . (Ἴδε κατωτέρω σ. 236,5), μεθ' ἃς ἐν τῇ κάτω ᾤᾳ χειρὶ νεωτέρᾳ λείπει τὰκλ. Ἐν τῷ κώδικι τούτῳ ἡ ψιλὴ σχηματίζεται πολλάκις ὡς δασεῖα.

Ἐπιγραφή: Μανουὴλ τοῦ χριστωνύμου [μονωδία ἐπὶ τῆ κεκομμένα μετὰ τῆς ἄνω ᾤας] ἀλλώσει τῆς κονσταντινουπόλεως νεωτέρᾳ χειρὶ B: Τοῦ σοφωτάτου καὶ λογίου καὶ διδασκάλου κῦρ μανουὴλ τοῦ χριστονύμου μονοδία ἐπὶ τῆ ἀπροσδοκήτω ἀλώσει τῆς κωνσταντίνου πόλεως O: Μονωδία ἐπὶ τῆ δυστυχεστάτη (ἐκ τοῦ τὸ πρῶτον γραφέντος δυχτυχεστάτη) κώνσταντινουπόλει Π

1. τίς BO: τὶς 1-2. καταπαύσωμαι πετασθεὶς OΠ: πετασθήσομαι καὶ καταπαύσω B 3. πρότριτα BΠ: πρώτριτα O 4. σιγῇ BΠ: σιγὴ O ἐξ ἀφανοῦς Π: ἐξαφανοῦς BO ἐπὶ τοῖς OΠ: ἐπῖτοῖς B 5. τὸ λοιπὸν OΠ: τολοιπὸν B 6. μονῳδήσω ἔγραψα: μονοδήσω BOΠ 7. πρῶτον OΠ: πρῶτον ἐστι B 8. μετειληφότων OΠ: μετειληχότων (φ) B ἐπενεχθεῖσαν BO: ὑπενεχθεῖσαν Π 9. πρὸ ταύτης BΠ: προταύτης O 10. μετηλλάξαμεν ἔγραψα: μετηλάξαμεν BO: μετηλάξαμεν τοῦ α πρὸ τοῦ ξ ἀντικαταστήσαντος τὸ πρότερον γραφὲν λ Π ἂν Π: λείπει BO

ΕΡΓΑ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

προςῆκον καὶ τῆς πολλῆς καὶ ἀφορήτου συμφορᾶς ἄξιον, ἵνα μήτε πεῖραν ἐλάβομεν τῶν ἀπροςδοκήτων καὶ ἀνυποίστων δεινῶν, μήτε τοσαύτας ὑφιστάμεθα τὰς ὀδύνας ὅσας δὴ νῦν ὑφιστάμεθα, πάσης τομωτέρας μαχαίρας, μέχρις ὀστέων χωρούσας καὶ μυελῶν καὶ μηδὲν ἀπολεῖψαι ἡμᾶς ἀπειλούσας, ἕως ἂν ἐν τοῖς ζῶσι καταλεγώμεθα. Ἀλλὰ τὸ μὲν πρῶτον τοιοῦτον καὶ οὕτως ἔχον ἐστίν. Τὸ δέ γε δεύτερον οὐ μιᾶς γλώττης οὐδὲ τοσούτου στόματος δεῖται, ἀλλ' εἴ γε δυνατὸν ἦν ἅπαντας εἰς ἓν συνελθόντας μίαν μὲν γλῶτταν, ἓν δὲ στόμα γενέσθαι, γοερὸν ἀνακρουομένους γε μέλος, οὐδ' ἂν οὐδ' οὕτω τὰ εἰκότα ὤφθημεν μονῳδήσαντες. Νῦν δὲ τίς ἂν φανείην ἐγὼ μίαν γλῶτταν, καὶ ταῦτα νωθράν, κεκτημένος, ὅτε καὶ πάντων εἰς ἓν συνελθόντων οὐδὲν ἂν ἦν γεγονός;

Ὢ πρᾶγμα ἄπιστον καὶ μετὰ τὴν πεῖραν. Πάντα γὰρ ἂν προςεδοκήσαμεν μᾶλλον ἢ τὸ νῦν ἡμῖν ἐπελθόν, καίτοι καὶ ἃ καθ' ἑκάστην ὑφιστάμεθα οὐδὲν ἀλλότρια τῶν ἐκ πολιορκίας κακῶν. Τὸ δὲ νῦν ἡμῖν ἐπελθὸν πᾶσαν ὑπερβολὴν ὑπερβάλλει τῶν δυσχερῶν καὶ ζῆν οὐκέτ' ἀναπείθει τούς γε ζῆν εὐγενῶς ᾑρημένους. Νῦν μὲν γὰρ ὑψηλαὶ τῶν πονηρῶν τε καὶ ἀκολάστων φατρίαι, ταπεινοὶ δ' ἡμεῖς καὶ γένος ἅπαν Ἑλλήνων καὶ ὁ λοιπὸς χριστώνυμος τοῦ Κυρίου λαός.

Ὢ πῶς ἠνεσχόμεθα τοιοῦτον ἔργον ἰδεῖν καὶ μὴ πρὶν εἰς τέλος ἐλθεῖν τοῦ ζῆν ἀπηλλάγημεν εὐγενῶς; Ἐχρῆν γὰρ ὡς ἀληθῶς ἐλευθέ-

ν

1. πολλῆς ΒΠ: πολῆς Ο 2. ἀνυποίστων Β: ἀνοϊπίστων Π: ἀνυπίστων Ο 3. τοσαύτας ΟΠ: τοσαύτας ἐκ τοῦ τὸ πρῶτον γραφέντος τοσαῦτας Β ὀδύνας ΟΠ: ὀδύνας Β 4. χωρούσας Β: χωροῦσας ΟΠ 4-5. μηδὲν Ο: μήδὲν Π: μηκετ' Β 5. ἀπολεῖψαι ΟΠ: ἀπολείψειν Β καταλεγώμεθα ΒΠ: καταλεγωμεθα Ο 7. τοσούτου ΒΠ: τοσοῦτου Ο 8. συνελ-

α

θόντας ΒΟ: συνελθόντες Π 9. ἀνακρουομένους γε ΟΠ: ἀνακρουόμενον Β 10. μονωδήσαντες Π: μονοδήσαντες ΒΟ φανείην ΒΠ: ὠφανείην Ο 12. γεγονὸς Β: γεγονῶς ΟΠ 13. πρᾶγμα Β: πράγμα ΟΠ μετὰ ΒΟ: μετα Π 14. ἐπελθὸν ΒΟ: ἐπελθὼν Π καθ' ἑκάστην ἔγραψα: καθεκάστην ΒΟΠ ἀλλότρια Β: ἀλότρια ΟΠ 15. πολιορκίας Β: πολϋορκίας ΟΠ 16. ἐπελθὸν ΒΠ: ἐπελθὼν Ο ὑπερβάλλει ΒΠ: ὑπερβάλει Ο 18. φατρίαι ΒΠ: φατρϊαι Ο ταπεινοὶ ΒΟ: ταπεινοὶ ἐκ τοῦ τὸ πρῶτον γραφέντος ταπινοὶ Π 19. χριστώνυμος Β: χριστόνυμος Ο: χρϋστόνυμος Π 20. ἠνεσχόμεθα Π: ἠνεσχόμεθα Ο: ἀνεσχέθημεν Β ἰδεῖν ΒΠ: ἰδεῖν Ο 21. τοῦ ΒΠ: τὸ Ο ἀπηλλάγημεν ΒΠ: ἀπηλάγημεν Ο ἐχρῆν ΒΠ: ἐχρὴν Ο

ΙΩΑΝΝΙΝΑ 2006

ρους ἡμᾶς γεγονότας καὶ τῆς ἐλευθερίας πᾶσι παρεκτικοὺς ἐλευθέρως ἀποθανεῖν πρὶν ἢ ταῦτα συμβῆναι. Νῦν δ' οὐκ οἶδ' ὅπως καὶ ζῶμεν ἡμεῖς καὶ τοῖς ζῶσι συναριθμούμεθα, εἴτε τῷ σφοδρῷ τοῦ πάθους καταπλαγέντες καὶ οἷον οὐκ εἶναι τὸ πρᾶγμα νομίζοντες· φιλεῖ γὰρ ἡ φύσις ἐν τοῖς μεγίστοις ἀμφισβητεῖν· εἴτε θεόθεν ἡμεῖς ἐξ ἀφανοῦς δεδέγμεθα τὴν ὑπομονήν, ἵν' ὑποφέροντες τῶν ἡμαρτημένων ἐξάλειψιν ἐκλαμβάνωμεν ἢ δίκην ἴσην τοῖς ἐπταισμένοις ἡμεῖς ἀποτίσωμεν. Τὸ γὰρ ἁπλῶς οὕτως ἀποθανεῖν οὐ κολαζομένων μᾶλλον ἤπερ ἐλευθερουμένων ἐστί, τὸ δὲ μετὰ πολλὴν ὀδύνην θανεῖν τοῦτ' ἔστιν ὄντως ἀπευκτὸν καὶ ὃ συμβῆναι τοῖς κακῶς ποιοῦσιν εὐχόμεθα.

Ὦ σεισμὸς πᾶσαν κατασείσας τὴν γῆν καὶ ἔτι δονουμένην καταλιπών, μᾶλλον δὲ τὰ μὲν κατασείσας, τὰ δὲ ἤδη καταβαλεῖν ἀπειλῶν, εἴπερ μὴ συγκαταβέβληται τὰ πάντα καὶ τῇ Πόλει συνέφθαρται. Ὦ πῦρ οἷον ἀπ' οὐρανοῦ καταπεσὸν καὶ πᾶσαν καταφλέξαν τὴν γῆν. Ὦ ζόφωσις καὶ σκοτόμηνα, ἐπὶ τοσοῦτον ἡμῖν τὸν ἥλιον ἀποκρύψασαι καὶ τὰ πάντα σκότους καὶ κατηφείας πληρώσασαι. Ὦ τῶν πάλαι πληγῶν ἑβδομένων ἀφορητοτέρα καὶ βαρυτέρα. Ὦ πάντων καὶ λεγομένων καὶ γενομένων κακῶν κορωνίς. Ὦ λαῖλαψ πυρώδης, ἥτις ἐξελίκμησας πάντα καὶ κατετέφρωσας καὶ παγκόσμιον ἐπήνεγκες κίνδυνον, καὶ νῦν τὰ πάντα ὥσπερ τι χάος, ἐκ μέσου γεγενημένων τῶν ἀγαθῶν.

1. ἐλευθέρους-παρεκτικοὺς Β: λείπουσιν ΟΠ  2. πρὶν ἢ ΟΠ: πρῖνὴ Β  3. ἡμεῖς ΟΠ: λείπει Β  5. ἐξ ἀφανοῦς ΒΠ: ἐξαφανοῦς Ο  6. ὑποφέροντες ΒΟ: ὑποφέρωντες Π  ἡμαρτημένων ΟΠ: ἁμαρτημάτων Ο  7. ἐκλαμβάνωμεν ΒΠ: ἐκλαμβάνομεν Ο  ἴσην ΒΠ: ἴσιν Ο  9. πολλὴν ὀδύνην ΒΠ: πολὴν ὀδύνην Ο  10. εὐχόμεθα ΒΠ: ευχόμεθα Ο  11. ὦ ἔγραψα ἐνταῦθα τηρῶν τὴν ὀρθογραφίαν τοῦ κώδικος Π ἐνταῦθα καὶ ἁπάντων τῶν κωδίκων κατωτέρω: ὢ ΒΟ  σεισμὸς ΟΠ σεισμὸς Β  11-12. καταλιπὼν Β: καταλειπὼν Ο: καταλοιπὼν Π  μὲν ΒΟ: μὲ'ν Π  δὲ ΒΟ δὲ' Π  13. τὰ ΟΠ: λείπει Β  14. ἀπ' ΒΠ: ἐξ Ο  καταπεσὸν ΒΠ: καταπεσὼν Π  15. σκοτόμηνα ἐπὶ τοσοῦτον ΟΠ: σκοτόμηνα ἐπῖτοσοῦτον Β  ἀποκρύψασαι ΒΟ: ἀποκρύψασα' Π  16. πληρώσασαι ΒΟ: πληρώσασα Π  17. πάντων ΒΟ: πάντα Π  λεγομένων Β: λεγωμένων ΟΠ  18. γενομένων Β: γεννομένων Π  λαῖλαψ Β: λαίλαψ Π: λαίλαμψ Ο  ἐξελίκμησας ἔγραψα: ἐξηλίκμησας ΟΠ: ἐξιλικμῖσας ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐξηλικμῖσας Β  19. ἐπήνεγκες ἔγραψα: ἐπήνεγκας ΒΟΠ  κίνδυνον Β: τέφρωσιν ΟΠ  20. ὥσπερ ἔγραψα: ὥσπέρ ΒΟΠ  τι Β: τις Ο: τίς Π  χάος ΒΠ: χᾶος Ο  γεγενημένων ΒΟ: γεγεννημένων Π

Εκδόσεις Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τίς ποτε τοιοῦτον εἶδεν ἢ ἀκοὴ παρεδέξατο; Γέγονε μὲν ἴσως καὶ κατ' ἄλλας ἀνάστασις πόλεις, καὶ πολλοὶ τῆς βαρβαρικῆς πεπείραντο καὶ γνώμης καὶ χειρὸς, καὶ οὐχὶ πρῶτον ἀφ' ἡμῶν ἤρξατο τὸ δεινόν. Ἀλλ' ἢ πόλεως μιᾶς ἦν ἡ φθορὰ ἢ γένους ἑνὸς ἢ μηδὲ τούτου παντὸς ἢ ὁτουδήποτε ἔτυχεν, καὶ τὸ λυποῦν παρ' ἐκείνοις εἶχε παραμυθίαν τινά, ἢ τῶν πλείστων τοῦ γένους ἀδουλώτων ἀπολειφθέντων, ἐξ ὧν τὰ τῆς ἐλευθερίας τοῖς δουλωθεῖσιν ἠλπίζετο, ἢ κατὰ γένη δεδουλωμένων, ἓν μόνον ἐχόντων ὀδύρεσθαι, τὴν τῆς πατρίδος ἀνάστασιν καὶ τὸ δούλους ἐξ ἐλευθέρων γεγενημένους φανῆναι. Τὰ δ' ἄλλα πάντα καὶ συνημμένοι καὶ συνδουλεύοντες ἦσαν καὶ πατὴρ υἱέσι καὶ μήτηρ παισὶ καὶ συγγενὴς συγγενεῖ, καὶ ὅπερ ἡ συμφορὰ λυπεῖσθαι παρεῖχε, τοῦτο τὸ συνεῖναι παρεμυθεῖτο, μήτηρ τε τὴν συμφορὰν ὁρμῶσα θρηνεῖν τῶν παίδων αὐτῇ παρόντων παρεμυθεῖτο καὶ οἷον παραψυχὴν τοῦ πάθους ἐλάμβανεν καὶ τῶν χρηστοτέρων ἐλπίδων ἔξω οὐδαμῶς καθειστήκει, λυπουμένη μέν, ὡς εἰκός, τοῖς παροῦσι, τοῖς δ' ἐλπιζομένοις εὐφραινομένη. Ἐνταῦθα δὲ οὐ τοιοῦτόν τι παραμυθίας, οὐδὲ μιᾶς πόλεως ἡ φθορά, οὐδὲ γένους τοσούτου οὐδ' οἷον ἄν τις ῥᾳδίως ὑποφέρειν ἰσχύσειεν, ἀλλ' οἷον πάσης εἰπεῖν τῆς οἰκουμένης φθορά, ὅσην μὴ κεκλήρωνται βάρβαροι.

1. ποτε ΒΟ: ποτὲ Π  ἀκοῆ Β: ἀκοὴ ΟΠ  γέγονε Β: γέγονεν ΟΠ  2. πόλεις ΟΠ: πόλις Β  τῆς βαρβαρικῆς ΒΠ: τοῖς βαρβαρικοῖς Π  3. οὐχὶ ΒΠ: οὔχι Ο  4-5. ἢ μηδὲ (μὴδὲ Π) τούτου παντὸς ΒΠ: λείπουσιν Ο  5. ὁτουδήποτε Π: ὅτου δήποτε Ο: οὔτινος Β  παρ' ἐκείνοις ΒΠ: παρεκείνοις Ο  εἶχε Β: εἶχεν ΟΠ  6. πλείστων ΒΟ: πλήστων Π  7. ἐξ ὧν τὰ τῆς (τατῆς Ο)—ἠλπίζετο ΟΠ: λείπουσι Β  γένη ΒΟ: γέννη Π  8. ὀδύρεσθαι ΒΠ: ὀδύρεσθαι Ο  9. ἐξ ΒΟ: λείπει Π  ἐλευθέρων ΒΠ: ελευθέρων Ο  γεγενημένους ΒΟ: γεγεννημένους Π  10. συνημμένοι ΒΠ: συνημένοι Ο  11. συγγενὴς συγγενεῖ ΒΟ: συγκενὴς, συγκενεῖ Π  λυπεῖσθαι ΟΠ: λύπην Β . 12. μήτηρ τε ΟΠ: καὶ μήτηρ Β  συμφορὰν ὁρμῶσα ΒΠ: συμφορᾶν ὁρμῶσα Ο  13. αὐτῇ Β: αὐτὴ Π: αὐτῆς Ο  παρόντων παρεμυθεῖτο Ο: παρόντων προςτεθέντος ἐν τῇ ᾤᾳ διὰ παραπεμπτικοῦ σημείου ☙ τοῦ παρεμυθεῖτο Π: παρόντων καὶ ψελλιζόντων παρεμυθεῖτο ἐκ τοῦ τὸ πρῶτον γραφέντος παρεμυθεῖτω Β  οἷον Β: λείπει ΟΠ  14-16. καὶ τῶν—εὐφραινομένη ΟΠ: λείπουσι Β  15. καθειστήκει ἔγραψα: καθίστήκει Π: καθ' ἱστήκει Ο  16. τοιοῦτόν τι Π: τοιοῦτον τὶ ΒΟ  παραμυθίας ΟΠ: λείπει Β  17. οὐδὲ μιᾶς ΒΠ: οὐδεμιᾶς Ο  τοσούτου ΒΠ: τοσοῦτου Ο  οἷον ΒΠ: οἵαν Ο  19. φθορὰ ΒΟ: φθορᾶ Π  μὴ ΒΠ: μη Ο

ΙΩΑΝΝΙΝΑ 2006

Οὕτως πάντα ἄνω καὶ κάτω μία ἡμέρα πεποίηκεν, καὶ λέλειπται δὴ τὰ πάντα οἱονεί τι σῶμα κείμενον ἄψυχον, ψυχῆς ἀπούσης, ἣ πρότερον αὐτὸ καὶ κινεῖσθαι καὶ κοσμεῖσθαι παρεῖχεν, ἤ, τό γε ἀληθέστερον εἰπεῖν, ἐναπελείφθη τὰ πάντα ὥςπερ τι σῶμα κινούμενον μὲν ἴσως καὶ ζῶν, ἐστερημένον δὲ φωτός, οὗ μὴ παρόντος τὸ ζῆν ὀδύνη καθέστηκεν. Τοιοῦτος ὀφθαλμὸς τῆς οἰκουμένης ἐκκέκοπται. Τοιαύτην μεταβολὴν ἐν τοῖς πράγμασιν ἤνεγκεν ἡ τῶν ἡμερῶν ἀποφράς. Τοιοῦτον κάλλος ὁ χρόνος ἐνέγκας, ὥςπερ τινὰ κόσμον ἐν κόσμῳ, αὖθις τὴν ἑαυτοῦ φύσιν ἐπιδεδειγμένος ἀπέκρυψεν καὶ τὰ πάντα συνέκρυψεν, καὶ εἴθε τελείως συναπέκρυψε πάντα καὶ συνηφάνισεν καὶ μὴ κακῶς εἶναι παρέλειψεν. Ποῦ γὰρ δίκαιον πόλεις τὰς ἄλλας εἶναί τε καὶ καλεῖσθαι, τῆς Πόλεως ἐκ μέσου γεγενημένης, ἣ Πόλις ἔλαχεν ὄντως καλεῖσθαι καὶ τὸ τῆς πόλεως ἐσέμνυνεν ὄνομα; Τῶν μὲν γὰρ ἄλλων τοὔνομα πόλεων οὐχ ἡδονῆς ἐπλήρου τὰς ἀκοὰς ἀκουόμενον· ταύτης δὲ τοὔνομα πρότερον ἀκουσθὲν οὐκ ἔστιν ὄντινα πάσης οὐκ ἔλυεν ὀδύνης καὶ συμφορᾶς, ἥτις αὐτὸν ἔτυχεν ἔχουσα. Νῦν δ' οὐκ ἔστιν ὅςτις οὐ θανατᾷ πρὸς τὴν ἀκοὴν καὶ δακρύων ἐμφορεῖται τοὺς ὀφθαλμούς. Οἷον γάρ, εἰ, ἡλίου καταπεσόντος, τἄλλα ἦν ἀφανῆ καὶ ὁ κόσμος οὗτος ἄκοσμος ἦν ἡλίου μὴ ὄντος τοῦ καὶ τοῖς ἄλλοις τὸ λάμπειν διδόντος, τοιοῦτον καὶ τῇ κτίσει πάσῃ τῆς Πόλεως ἐξαφανισθείσης συμβέβηκεν, καὶ νῦν πάντα ἐν σκοτοδινίᾳ καὶ κατηφείᾳ πολλῇ.

2. οἱονεὶ ΒΟ: οἱωνεί Π ἣ ΒΟ: ἣ Π 4. ἐναπελείφθη ΒΟ: ἐνάπελείφθη Π τὰ πάντα ΒΠ: ταπάντα Ο ὥςπερ ΒΟ: ὥςπέρ Π 5. ὀδύνη ΒΠ: ὀδύνη Ο 6. οἰκουμένης ΒΠ: οἰκουμένης Ο ἐκκέκοπται ΒΠ: ἐκκέκοπτε Ο 7. ἀποφράς Π: ἀποφράς ἐν δὲ τῇ ὤᾳ ἄνω χειρὶ νεωτέρᾳ ἀποφρὰς *nefastus dies* Β: ἀποφρὰς ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀποφρᾶς Ο 8. ὥςπερ τινὰ ἔγραψα: ὥςπέρ τινα ΒΟΠ 9-10. συνέκρυψεν ΒΟ: σύνέκρῦψεν Π 11. πόλεις Β: λείπει ΟΠ εἶναί Π: εἶναι ΒΟ 12. ἣ Β: ἣ ΟΠ 13. ὄντως ΒΠ: οὕτως Ο καὶ τὸ τῆς πόλεως ἐσέμνυνεν ὄνομα Β: τῶν (διωρθωμένου εἰς τῆς Ο) πόλεως ἐκ μέσου γεγενημένης ἣ πόλις καὶ τὸ τῆς πόλεως ἐσέμνηνεν ὄνομα ΟΠ 14. πόλεων ΟΠ: λείπει Β οὐχ Β: οὐχ' ΟΠ 15. πρότερον Β: πρώτερον Π: πρῶτερον Ο οὐκ ἔστιν ΒΠ: οὐκέστιν Ο 18. εἰ ἡλίου ΒΟ: ἠηλίου Π τἄλλα Β: τ'ἄλλα ΟΠ ἦν ΒΟ: ἦν ⁝ἡλίου⁝ Π 18-19. καὶ-ἦν ἐν τῷ κειμένῳ ΟΠ: πρόςθετα ἐν τῇ ὤᾳ διὰ παραπεμπτικοῦ σημείου ÷|÷ Β 19-20. τοῦ—διδόντος ΒΠ: λείπουσιν Ο τὸ Π: τῶ Β 21. σκοτοδινία ἔγραψα: σκοτοδῦνία Π: σκοτοδῦνία Β: σκοτοδυνία Ο κατηφεία ΒΠ: κατηφία Ο

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... Ε.Γ.Α. ... ΙΩΑΝΝΙΝΑ 2006

Ὦ, πῶς φέρω τὸ πάθος καὶ τῇ γλώττῃ προςφέρω, οἱονεί τι κύμβαλον ἀλαλάζων, καὶ μὴ τὴν ψυχὴν ἀποτίθημι; Οἴχεται μὲν οὖν ἡ Πόλις, οἴχεται, φεῦ, καὶ τὰ πάντα συνέφθαρται, λόγος, παίδευσις καὶ ὁ λοιπὸς κύκλος τῶν ἀγαθῶν. Τίνος μὲν οὐκ ἐν πᾶσιν εἶχε τὸ κράτος καὶ τίσιν οὐ τύπος καὶ κανὼν ἦν ἀρετῆς; Λέγω δὲ οὐκ εἰς τὸν πάλαι χρόνον ἀνάγων, ὅτε πασῶν ἀσυγκρίτως ἐκράτει, μᾶλλον δὲ ὅτε πασῶν εἶχε τὸ κράτος. Τότε γὰρ οὐχ ὅτι μόνον πασῶν πᾶσιν ἐκράτει, ἀλλ' ὥςπερ ἀπὸ πηγῆς καλλιρρόου ἐξ ἐκείνης εἰς πάσας ἔρρει τὰ ἀγαθά, καὶ τὸ κοσμεῖσθαι πᾶσαι παρ' ἐκείνης εἶχον, καί, εἴπερ ἦν αὐτῇ βουλομένη μηδέν τι τῶν ἑαυτῆς δεδωκέναι τοῖς πᾶσιν, πάντα ἦν ἀκαλλῆ καὶ τὸ πόλεις μόνον ὀνομάζεσθαι εἶχον, ὥςπερ ἀλόγων ζῴων ἀγέλαι συνόντες καὶ διαιτώμενοι. Νῦν δὲ καὶ δοῦσα τὰ παρ' ἑαυτῇ πᾶσι καὶ αὐξήσασα, ὅτε μᾶλλον εἰς γῆρας ἦλθεν καὶ πᾶσι τρόποις ὡς εἰπεῖν πεπαλαίωται, οὐδ' οὕτως ἀπέλιπεν τοῦ τὰ παρ' ἑαυτῆς πᾶσι διδόναι καὶ πάσαις ἐκ τῶν αὐτῆς κοσμοῦσα, πρώτη καὶ μήτηρ πασῶν εἶναι ὑπερκειμένη· ἀλλ' ἦν ὥςπερ τις στέφανος χαρίτων, ἐκ πάντων κεκοσμημένη τῶν ἀγαθῶν, οἱονεὶ τὰς ἀπαρχὰς ἔχουσα πάντων ἐξ ὧν τὸ νικᾶν καὶ δι' ὧν τὸ κεκοσμῆσθαι καὶ πεποικίλθαι συνέβαινεν. Τίνος μὲν οὐκ ἐν λόγοις ἐκράτει τοσοῦτον καὶ παρ' ἀκμὴν ὅσον οἱ λογικοὶ τῆς ἀλόγου φύσεως; Μᾶλλον δ' αὕτη καὶ μόνη τροφὸς καὶ μήτηρ τοῦ λόγου καὶ καθαρῶς ἦν Ἑλλάς, οὐκ ἀλλοτρίως

1. Ὦ ἔγραψα: ὦ ΒΟΠ πάθος ΒΠ: παθος Ο προςφέρω ΟΠ: προφέρω Β οἱονεί τι Β: οἷον εἴ τινι Ο: οἷον εἴτινι Π 1-2. κύμβαλον ΟΒ: κύμβαλον (ω) Π 2. ἀλαλάζων ΟΠ: ἀλαλάζον Β 2-3. οἴχεται... οἴχεται Β: ᾤχετο... ᾤχετο ΟΠ 3. τὰ πάντα ΒΠ: ταπάντα Ο συνέφθαρται ΒΠ: συνεφθαρται Ο 5. κράτος ΒΠ: κρατος Ο οὐ Β: ὁ ΟΠ ἀρετῆς ΒΠ: αρετῆς Ο 6. πάλαι ΒΠ: παλαι Ο ὅτε Β: οὔτε ΟΠ ἀσυγκρίτως ΒΠ: ασυγκρίτως Ο 7. οὐχ ΒΟ: οὐχ' Π μόνον Β: λείπει ΟΠ 8. καλλιρρόου ΒΠ: καλιρρόου Ο ἐξ ἐκείνης ΒΠ: ἐξεκείνης Ο ἔρρει Β: ἔρρυ ΟΠ: 9. ἐκείνης ΒΟ: ἐκείνοις Π 10. αὐτῇ Β: αὐτὴ ΟΠ μηδέν ΒΟ: μὴδέν Π ἑαυτῆς Β: ἐκείνης Ο: ἐκείνοις Π 11. ἀκαλλῆ Β: ἀκαλῆ ΟΠ πόλεις Β: πόλις ΟΠ 12. διαιτώμενοι ΒΠ: διαιτόμενοι Ο καὶ ΒΠ: και Ο 13. πᾶσι Β: πᾶσιν ΟΠ αὐξήσασα ΒΠ: αὐξήσα Ο καὶ Β: λείπει ΟΠ 15. πᾶσι Β: πᾶσιν ΟΠ πάσας Β: πάσαις ΟΠ αὐτῆς ἔγραψα: αὐτῆς ΟΠ: αὐτῶν Β 16. μήτηρ ΟΠ: μήτηρ καὶ Β ὥςπερ Β: ὥςπέρ ΟΠ 17. οἱονεὶ Β: λείπει ΟΠ 18. τὸ κεκοσμῆσθαι ἔγραψα: τὸ κεκοσμεῖσθαι ΟΠ: κεκοσμῆσθαι Β 19. ἐκράτει τοσοῦτον ΟΠ: τοσοῦτον ἐκράτει Β 20. ἀλόγου ΒΠ: ἄλογου Ο 21. ἑλλὰς ΒΠ: ἑλᾶς Ο

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΥ.Α.ΚΤ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ νόθως κεκτημένη τὴν παίδευσιν, οὐδὲ βάρβαρος οὖσα τὴν ἑλληνικὴν ἐπὶ τὴν ἑαυτῆς ἐπεσπάσατο γλῶτταν, ἐν ἀλλοτρίῳ κοσμουμένη τῷ κόσμῳ, οὐδὲ καθ' ἑαυτὴν ἄχαρις καὶ βάρβαρος οὖσα τῷ γε λόγου μετασχεῖν οὐκ ἄμοιρος ἐφαίνετο χάριτος, ἀλλὰ καθαρῶς Ἑλλὰς οὖσα ἤρκει μόνη καὶ μὴ λόγου μεταλαβοῦσα τῶν ἄλλων κρατεῖν τῷ εὐγενεῖ καὶ καθαρωτάτῳ τῆς γλώττης, καὶ ταύτην ἄν τις λογικὴν φύσιν εἶπεν εἰκότως, ἐν ἧπερ ὁ λόγος φυσικῶς ἐγκατέσπαρται.

Νῦν δὲ πόσον τῶν ἄλλων ἐκράτει, τοσοῦτον ἐπιδοῦσα ἐν λόγοις, ὅτε καὶ μὴ λόγου μεταλαβοῦσα εἶχεν ἂν τῶν ἄλλων κρατεῖν, δῆλον τῷ σκοπουμένῳ καλῶς. Οὐ μὴν παρ' ἑαυτῇ μόνῃ τὸ κράτος εἶχε τῶν λόγων καὶ μόνη τῷ λόγῳ κοσμεῖσθαι προςῆκον ἡγεῖτο, εἰ μὴ καὶ ταῖς ἄλλαις τοῦ παρ' ἑαυτῇ καλοῦ μεταδοίη. Καὶ τοῦτο μαρτυρεῖ Τραπεζοῦς καὶ Πελοπόννησος αὐτὴ καὶ νῆσοι, καὶ μέχρι τῶν ἀλλογλώττων αὐτῶν πολλούς ἐστιν εὑρεῖν ἐν ἑλληνικῇ σοφίᾳ πεπαιδευμένους καὶ ὅπου τις ἂν ἔχοι λόγου κράτος εἰπεῖν οὐχ ἑτέρωθεν ἢ περ ἐκ τῆς Πόλεώς ἐστι γεγενημένον. Οἴδασι τοῦτο πάντες, κἂν ἐγὼ σιωπῶ, μάλιστα δ' ὅσοι καὶ λόγου μετειληφότες εἰσίν. Τούτων γὰρ καὶ τὸ κρίνειν καλῶς καὶ ὅπου λόγος ἔσχεν τὸ κράτος ἐξετάζειν ἐστίν. Μαρτυροῦσι δὲ καὶ οἱ ἐξ Ἰταλίας παρ' αὐτῇ φοιτῶντες καὶ τῆς βουλήσεως αὐτῶν πλέον εὑρόντες καὶ νῦν Ἕλληνες τῇ γλώττῃ καὶ ὄντες καὶ φαινόμενοι.

Οὐ τούτῳ δ' οὖν μόνῳ τῶν ἄλλων ἔσχεν ὑπερτερεῖν, τοῖς δ' ἄλλοις ἢ τὸ ἴσον εἶχεν ἢ οὐχ ὑπὲρ πᾶσαν σύγκρισιν ὑπερέκειτο. Οὕτω γὰρ

1-2. ἑλληνικὴν ΒΠ: ἐλληνικὴν Ο 2. ἑαυτῆς ΒΠ: αὐτῆς Ο γλῶτταν ἔγραψα: γλῶσσαν ΟΠ: γλώσσαν Β ἀλλοτρίῳ ΒΠ: ἀλοτρίω Ο 3. γε λόγου ΟΠ: λόγω Β 4. μετασχεῖν ΒΟ: μετὰσχεῖν Π 6. καθαρωτάτῳ ΒΠ: καθαροτάτω Ο καὶ ταύτην—ἐγκατέσπαρται ΟΠ: λείπουσι Β 12. τοῦτο ΟΠ: τοῦτο ἐκ τοῦ τὸ πρῶτον γραφέντος τούτου Β 13. πελοπόννησος ΒΠ: πελοπόνησος Ο ἀλλογλώττων ΟΠ: ἀλλογλώσσων Β 14. πολλούς ἐστιν ἔγραψα: πολλοὺς ἐστὶν ΟΠ: πολλοὺς ἔστιν Β ἐν ΒΟ: λείπει Π ἑλληνικῇ ΒΠ: ελληνικὴ Ο 15 τις ἔγραψα: τὶς ΒΟΠ ἔχοι ΒΠ: ἔχει Ο εἰπεῖν ΒΠ: εἰπειν Ο οὐχ ἔγραψα: οὐκ ΒΟΠ ἑτέρωθεν ΒΠ: ετέρωθεν Ο ἢ περ Β: εἴπερ ΟΠ 16. Πόλεώς ἔγραψα: πόλεως ΒΟΠ ἐστι ἔγραψα: ἔστι ΟΠ: ἔστι Β γεγενημένον Β: γεγενημενον Ο: γεγεννημένον Π 16-17. σιωπῶ μάλιστα ΒΟ: σιωπήσω μάλλιστα Π 17. μετειληφότες ΒΠ: μετηλειφότες Ο 18. λόγος Β: λόγου ΟΠ 22. ὑπερτερεῖν Β: ὑπερτελεῖν Ο: λείπει Π 23. οὐχ ὑπὲρ Β: οὐχὶ ΟΠ

ἐν πᾶσιν εἶχε τὸ κράτος ὡς οὐδ' ἂν ἑκάστη ἐν οὐδενί, οὕτω δ' ἐν ἑνί, ὥςπερ εἰ μὴ τὸ κράτος εἶχεν ἐν πᾶσι καὶ πανταχοῦ. Ὥςτε τῷ βουλομένῳ λόγοις διεξιέναι τὰ ταύτης ἀγαθὰ ἔργον ἦν τί ποτ' ἂν μᾶλλον ἐπαινέσαιτο ἢ τίνος φανείη περιιδών.

Τίς τοσοῦτον ἐν συνέσει τῶν ἄλλων ἐκράτει; Τίνες μᾶλλον τὰ δέοντα βουλεύεσθαι καὶ εὑρεῖν ἐξεπίσταντο, κἂν τὰ νῦν θεοῦ θέλοντος οὕτω προκεχώρηκεν; Τίνων ἡ εὐταξία; Τίσι μᾶλλον ἐπήνθει τὸ εὐγενὲς τῆς ψυχῆς; Τίνων ἢ τούτων τὸ γλώττῃ καὶ γνώμῃ χαρίζεσθαι καὶ φιλεῖν; Τίνες τούτων μᾶλλον οἴδασιν ἐλεεῖν καὶ τὸ συγγενὲς ἐπιθάλπειν καὶ τὸ κλαίειν μετὰ κλαιόντων καὶ χαίρειν μετὰ χαιρόντων; Τίνων νοσοκομίαι, τίνων ἐλεημοσύναι, δημόσιαί τε καὶ ἴδιαι; Τίνων οἱ παρθενῶνες καὶ τὰ ἀσκητήρια; Τίνων τὸ ἐν προςευχαῖς ἀπερίσπαστον; Τίνων ἡ κοινὴ καὶ δημοσία ἐν πᾶσι φιλοτιμία; Πόθεν ἡ ἱερὰ μουσική; Τίνων αἱ θεόκλητοι πανηγύρεις; Τίνες ἢ οὗτοι τὸ ἐπ' ἀνδρείᾳ ἤραντο κράτος; οἳ τοσοῦτον ἀπέσχον τοῦ μὴ πᾶσαν δεδουλωκέναι τὴν κτίσιν, ὥςτε καὶ τὰ μέχρις Ἡρακλείων στηλῶν δεδουλώκασιν, καὶ νῦν εἰς ἄκρα πέρατα σύμβολα τῆς αὐτῶν νίκης καὶ κράτους ἐστὶν εὑρεῖν. Τίσιν ἐν πᾶσιν κανὼν καὶ τύπος οὐκ ἦσαν τῶν ἀγαθῶν; Τί περ εἶδος τῶν ἀγαθῶν οὐκ ἐπήνθει τῇ πόλει; Τί τῶν ἐναντίων οὐκ ἀπελήλατο ταύτης; Νόμοι τὸ κράτος εἶχον ἐν ταύτῃ καὶ τὸ δί-

1. πᾶσιν ΟΠ: πᾶσιν ἐκ τοῦ πᾶσι Β οὐδ' ἂν Π: οὐδὲν ΒΟ οὐδενὶ ΒΠ: ουζενὶ Ο 2. ἐν Β: ἓν Π: ἓν Ο 4. ἐπαινέσαιτο Ο: ἐπαινέσετο ἐκ τοῦ ἐπαινέσεται Β: ἐπαινέσετο Π περιιδὼν Β: περϊιδὼν Ο: περιϊδὼν Π 6. κἂν ΒΠ: κᾶν Ο νῦν ΟΠ: νῦν οὕτω Β 7. οὕτω ΟΠ: λείπει Β μᾶλλον ΒΟ: μᾶλλον ἐκ τοῦ τὸ πρῶτον γραφέντος πᾶλλον τοῦ μ ἐπαναληφθέντος καὶ ἄνω τοῦ ἐπανορθωθέντος γράμματος Π ἐπήνθει ΒΟ: ἐπήνθη Π 8. γλώττῃ ἔγραψα: γλώσσῃ ΒΟΠ καὶ ΒΠ: καὶ Ο 10. μετὰ κλαιόντων Π: μετακλαιόντων Β: μετακλ^αι^εόντων Ο 11. νοσοκομίαι Β: νοσοκομία Ο: νοσοκομεῖα Π δημόσιαί τε καὶ ἴδιαι ΟΠ: ἴδιαι καὶ δημόσιαι Β 12. παρθενῶνες ΒΠ: παρθενῶνεσι Ο 13. πᾶσι Β: πάσῃ ΟΠ ἱερὰ ΒΟ: ῾ἱερὰ Π 14-15. ἀνδρεία ΟΠ: ἀνδρία Β 15. ἤραντο Β: ἠραντὸ Π: ἤραντο Ο τοσοῦτον ΒΠ: τοσοῦτον Ο 16. κτίσιν ΟΠ: κτῆσιν Β τὰ Π: τὸ ΒΟ ἡρακλείων ΟΠ: ἡρακλειῶν Β στηλῶν ΒΠ: στηλλῶν Ο 17. ἄκρα ΒΠ: ἄκρα τα Ο καὶ κράτους ΟΠ: λείπουσι Β 18. ἐστὶν ΒΠ; ἔστιν Ο πᾶσιν ΟΠ: πᾶσι Β 19. ^οὐ^κ ἐπήνθει ΒΠ: οὐκεπήνθει Ο 20. ἀπελήλατο Β; ἀπελήλαστο Π: απελλήλατο Ο

ΙΩΑΝΝΙΝΑ 2006

καιον ἐβασίλευεν. Ἐῶ λέγειν τἆλλα κάλλη καὶ κόσμους νεῶν καὶ περιβόλους λαμπροὺς καὶ οἰκιῶν μεγέθη σὺν κάλλει καὶ ἱπποδρόμους αὐτοὺς καὶ στήλας καὶ παρθενῶνας καὶ ἀσκητήρια, δι᾽ ὧν τοσοῦτον τῶν ἄλλων ἐκράτει ὅσον ἀστέρων ἥλιος.

Ἀλλὰ ποῦ τὸ ἱερατικὸν μᾶλλον καθαρὸν καὶ ἀκίβδηλον καὶ τὴν τῶν ἀγγέλων τάξιν ἐν λειτουργίαις φέρον; Ὅτε περιφανὴς ἦν ἑορτὴ καὶ πάντας συνεκάλει πρὸς ὑμνῳδίας ἡ τῶν ἡμερῶν λαμπρότης καὶ συνήγοντο μὲν ἱερεῖς καὶ μονάζοντες ἐν τῷ περικαλλεῖ καὶ οὐρανίῳ νεῷ καὶ ὁ πατριαρχεύων σὺν ἐπισκόποις παρῆν, τὰς ἱερὰς καὶ ἀναιμάκτους ἐκτελοῦντες θυσίας, ἦν ἰδεῖν τὴν τῶν ἀγγέλων ἐν γῇ λειτουργίαν ἐκτελουμένην, καὶ οὐκ ἦν οὕτω ῥᾴδιον διακρίνειν εἴτε ἀπ᾽ οὐρανοῦ κατηνέχθησαν ἄγγελοι λειτουργοῦντες, εἴτε ἄνθρωποι εἰς τὴν τῶν ἀγγέλων φύσιν μεταβληθέντες τὸν τῶν ἀγγέλων ὕμνον ἀποτελοῦσιν. Καὶ ἦν πάντα χαρίτων καὶ ἡδονῆς, πάντων σκιρτώντων, ἀγαλλομένων, τί μὲν οὐ λεγόντων, τί δὲ οὐ ποιούντων πρὸς τὴν ἀγγελικὴν ἐκείνην καὶ θείαν πανήγυριν. Καὶ οὐδεὶς ἦν ὅστις χρονίᾳ κατεχόμενος λύπῃ μὴ τότε πρὸς εὐφροσύνην μετετίθετο πᾶσαν, ἀγγέλων οἷον ἀκούων ὑμνολογούντων καὶ πρὸς τὸ ὑπερφυὲς τῆς θέας τὴν αἴσθησιν ὑπαλλάττων καὶ ἐκπληττόμενος καὶ ἐν οὐρανοῖς ἐνδιαιτᾶσθαι δοκῶν. Τίς μὲν οὐ παρῆν τότε, τίς δὲ ζημίαν ἐν οἴκοις καθῆσθαι οὐχ ὑπελάμβανεν; Τίς μέρος τῆς ἑορτῆς οὐκ ἐγίνετο, οὐκ ἰδιώτης, οὐ ξένος, οὐ πρεσβύτης, οὐ νέος, οὐκ ἄρχων, οὐ βασιλεὺς αὐτός; Οὐχ ἡβηδὸν

1. ἐβασίλευεν ΒΟ: εὐασίλευεν Π  τἆλλα Β: τ᾽ ἄλλα ΟΠ  νεῶν ΒΠ: νεὼν Ο  2. μεγέθη ΒΠ: μεγέθει (η) Ο  σὺν κάλλει ἔγραψα: σὺν κάλλει ἄνωθεν Β: σῦν κάλλη Π: σῦν κάλλη Ο  3. στήλας Β: στῆλας ΟΠ  ἀσκητήρια ΒΠ: ασκητήρια Ο  5. ἀλλὰ ΒΠ: αλλὰ Ο  6. λειτουργίαις ΒΠ: λειτουργείαις Ο  φέρον ΟΠ: φέρον ἐκ τοῦ φέρων Β  8. ἱερεῖς ΒΠ: ἱερεῖς Ο  περικαλλεῖ ΒΠ: περικαλεῖ Ο  9. σὺν ἐπισκόποις Π: σύνεπισκόποις ΒΟ  9-10. ἀναιμάκτους ΒΟ: ἀνεμάκτους Π  10. ἰδεῖν ΒΠ: ἴδειν Ο  10-11. λειτουργίαν ΒΠ: λειτουργείαν Ο  11. οὐκ ἦν Β: οὐκ᾽ ἦν Π: οὐκῆν Ο  διακρίνειν ΟΠ: διακρῖναι Β  13. τὸν Ο: τὸν ἐκ τῶν Β: τὴν Π  ἀποτελοῦσιν ΒΠ: ἀποτελοῦσί Ο  14-15. ἀγαλλομένων ΒΠ: ἀγαλομένων Ο  20. παρῆν ΒΠ: παρῆν Ο  δὲ ΟΠ: λείπει Β  οὐχ ΒΠ: ουχ Ο  20-21. ὑπελάμβανεν ΒΟ: υπελάμβανεν Π  21. ἐγίνετο ΒΠ: ἐγύνετο Ο  ἰδιώτης ἔγραψα: ἰδιότης ΒΟΠ  22. πρεσβύτης ΒΠ: πρεσβυτης Ο  οὐκ ἄρχων ΒΠ: οὐκάρχων Ο  οὐχ ἡβηδὸν ἐν δὲ τῇ ᾤᾳ μεταγενεστέρᾳ χειρὶ Νεολατίνου ἡβηδὸν puberum more Β: οὐχηβηδὸν ΟΠ

πάντες σπεύδοντες συνελέγοντο πρὸς τὴν μακαρίαν καὶ ἀγγελικὴν ἐκείνην πανήγυριν;

Ὢ πῶς φέρω τὸ πάθος καὶ μὴ τὴν ψυχὴν τῇ μνήμῃ τοῦ πάθους συναπορρήγνυμι; Ὢ πῶς ζῶ καὶ ζῶν τὸ πάθος διέξειμι; Ὢ πόσων ἐστερήμεθα ὄντως οἱ τληπαθεῖς ἡμεῖς καὶ παντάλανες. Ὢ τίς οὐχὶ θανατᾷ πρὸς τὸ πάθος καὶ δακρύων οὐκ ἐμφορεῖται τοὺς ὀφθαλμούς; Τοιούτοις ἀγαθοῖς ἡ πόλις κεκόσμητο, τοιούτοις διήστραπτε τοῖς καλοῖς ὥςπερ τις οὐρανὸς ἄλλος ἢ ἥλιος ἐν οὐρανῷ διαυγὴς διαλάμπουσα πάντα τὰ πέρατα, οὐ σώματα καταφωτίζουσα μόνον, ἀλλὰ πολλῷ πλέον καὶ τὰς ψυχάς. Καὶ νῦν, φεῦ μοι, μιᾷ καιροῦ ῥοπῇ συνῴχετο πάντα καὶ συναπώλετο καὶ εἰς τὸ μηδὲν εἶναι κεχώρηκεν.

Ὢ τῆς ἡμέρας ἐκείνης τῆς ἀπευκταίας καὶ δυςχεροῦς, ἣ συνώλεσε πάντα καὶ ἐξηφάνισε καὶ οἷον παγκόσμιον ἐπήνεγκε κίνδυνον. Ἀνατέταλκε μὲν ἡ ἡμέρα ἐπὶ χρηστοτέραις ἴσως ἐλπίσιν, ὡς ἄρα κρείττονες τῶν πολεμούντων ἡμεῖς, τὸ δὲ ἦν γέλως σαφὴς καὶ πρὸς τὰ μέλλοντα θρῆνος ἀπαραμύθητος. Προςέβαλον μὲν κύκλῳ τοῖς τείχεσιν οἱ πολέμιοι, πάσας κινοῦντες τὰς ἑλεπόλεις, βοῶντες, ἐν χερσὶν οἰόμενοι καὶ πρὶν ἢ κρατῆσαι καὶ πρὶν ἢ πᾶσι καθαρῶς φανῆναι τὸν ἥλιον τοῖς τείχεσιν ἐπεπήδων οἱ πολεμοῦντες ἡμῖν, μᾶλλον δέ, τῶν τειχῶν πάλαι καταπεπτωκότων, τότε συνέρρεον πάντες ἀθρόως ὥςπερ τι μελισσῶν σμῆνος ἢ μονιῶν ἀγρίων ἀγέλαι, καὶ πρὶν ἢ λόγος πάντα ἦν τῶν πολεμούντων μεστά, ἀγυιαί, τείχη, οἰκίαι, περίβολοι ἱεροὶ καὶ ναοί, ἀγροὶ

1. σπεύδοντες ΟΠ: σπεύδοντες ἐκ τοῦ τὸ πρῶτον γραφέντος σπεύδονας Β συνελέγοντο Β: συνηλέγοντο ΟΠ 3. ὢ ἐκ διορθώσεως τοῦ τὸ πρῶτον γραφέντος ὦ Π: ὦ ΒΟ τὸ ΒΠ: το Ο 4. συναπορρήγνυμι Π: συναπορρύγνυμι Ο: συναποτίθημι Β 5. Μετὰ τῆς λέξεως ἡμεῖς τελευτᾷ ἡ μονῳδία, μένουσα κολοβή, ἐν τῷ Π παντάλανες Ο: παντάλανας Β ὢ Β: λείπει Ο 6. οὐκ Ο: λείπει Β 7. διήστραπτε Β: διήστραπται Ο 8. ὥςπερ ἔγραψα: ὥςπέρ ΒΟ διαυγὴς Β: δϊαΰγὴς Ο 9. ἀλλὰ Β: ἀλλα Ο 10. ῥοπῇ Β: ῥοπὴ Ο 11. συναπώλετο ἔγραψα: συναπόλετο ἐκ τοῦ τὸ πρῶτον γραφέντος συναπώλετο Β: σὺναπόλετο Ο 12. ἀπευκταίας Β: ἀπευκταῖας Ο 13. ἐξηφάνισε Β: ἐξηφάνισεν Ο 14. ἄρα Β: ἆρα Ο 15. γέλως σαφὴς Β: ἄγγελος σαφῆς Ο 17-18. πάσας...βοῶντες, βοῶντες...τείχεσιν Β: λείπουσιν Ο 19. ἡμῖν Ο: λείπει Β 20. καταπεπτωκότων Β: καταπεπτοκότων Ο ὥςπερ ἔγραψα: ὥςπέρ ΒΟ μελισσῶν Β: μελισῶν Ο 22. ἀγυιαὶ Β: ἀγΐαὶ Ο οἰκίαι Β: οἰκεῖαι Ο ἱεροὶ Β: ἱὲροὶ Ο

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

καὶ πάντα τὰ τῆς Πόλεως. Καὶ ἦν ἰδέσθαι θέαμα ἐλεεινὸν καὶ δακρύων ἄξιον καὶ τοῖς ἰδοῦσι μόνον πιστόν, μᾶλλον δὲ κἀκείνοις οὐ πιστευόμενον, ναοὺς καταπατουμένους αἰσχρῶς, εἰκόνας ὑβριζομένας βαρβαρικῶς, πρὸς δὲ καὶ νόμων πατρίων καὶ ἐθῶν καὶ τάξεων ὄντως, ἡρῴων ἀναίρεσιν καὶ αὐτῶν πατρῴων τάφων ἀνόρυξιν, ἱερῶν ἐπίπλων διανομήν, σκευῶν ἁγίων κατάλυσιν, οἰκίας πυρπολουμένας, παῖδας φονευομένους ἐλεεινῶς καὶ πᾶσαν ἡλικίαν θεριζομένην δεινῶς, ἡμᾶς αὐτοὺς ὑβριζομένους βαρβαρικῶς καὶ βίᾳ τῶν ἰδίων ἐξισταμένους, πλούτου, οἰκίας, συγγενείας αὐτῆς. Μήτηρ τότε δὴ τῶν ἑαυτῆς παίδων ἀπεστερεῖτο καὶ χεῖρας μετὰ δακρύων πρὸς ἱκετείαν ἐκτείνουσαν μὴ τῶν παίδων ἀπεστερῆσθαι ξίφος αὐτήν, πρὶν ἢ τὰς χεῖρας ἐκτεῖναι, κατέτεμνεν. Πατὴρ ὑπὲρ παίδων ἱκέτευε καὶ ἅμα τῷ λόγῳ πεφονευμένους ἑώρα τοὺς παῖδας, καὶ ἀδελφὸς ἀδελφῶν ἐστερεῖτο καὶ φίλος φίλων καὶ συγγενὴς συγγενῶν καὶ γέρων εἵπετο μὲν τῷ φόβῳ, τοῦ δὲ γήρους οὐκ ἐῶντος κατέπιπτεν καὶ πίπτων κατεπατεῖτο καὶ κατετέμνετο, καὶ μήτηρ τοὺς ἑαυτῆς παῖδας ἀγκαλισαμένη συνεφονεύετο, καὶ διεγήγερτο μέλος γοερὸν καὶ θροῦς σύμμικτος ὥςπερ οὐρανοῦ καταπεσόντος ἢ γῆς μετανισταμένης καὶ κινουμένης καὶ ἀέρος ταραττομένου καὶ θαλάσσης πάντα κατακαλυπτούσης καὶ αἰθέρος καταπεσόντος καὶ βρέμοντος, τῶν μὲν ἑλκομένων, τῶν δὲ φονευομένων, τῶν δὲ πεφονευμένων μέν, ἐλεεινὰ δὲ καὶ λοίσθια φθεγγομένων. Καὶ ἦν ἰδεῖν ὑπὸ βαρβάρων βαρβαρικῶς πολιὰς συρομένας, ἃς εἰκὸς ἦν καὶ τοὺς πολεμίους αἰδεῖσθαι, παρθένους ἐκ παρθενώνων ἐξερχομένας, αἵ

1. τὰ ἔγραψα: λείπει ΒΟ ἐλεεινὸν Β: ἐλεηνὸν Ο 2. ἰδοῦσι Ο: εἰδόσι Β κἀκείνοις Β: κακείνοις Ο 2-3. πιστευόμενον Β: πιστεύονται Ο 4-5. πρὸς δὲ—ἀνόρυξιν (κῶδ. ἀνώρυξῖν) Ο: λείπουσι Β 8. πλούτου Β: πλοῦτου Ο 9 τότε δὴ Β: λείπουσιν Ο 10. μετὰ δακρύων πρὸς ἱκετῖαν Ο: πρὸς ἱκετείαν μετὰ δακρύων Β ἐκτείνουσαν ἔγραψα: ἐκτείνουσα ΒΟ 11. ἀπεστερῆσθαι ἔγραψα: ἀπεστερεῖσθαι ΒΟ ἐκτεῖναι Β: ἐκτίναι Ο 14. συγγενὴς Β: συγγενεῖς Ο 15. ἐῶντος Β: εῶντος Ο 16. ἑαυτῆς ἔγραψα: ἑαυτοὺς Β: ἑαυτοὺς Ο ἀγκαλισαμένη ἔγραψα: ἀγγαλισαά μένη ΒΟ 17. θροῦς Β: θρούς Ο 17-18. καταπεσόντος Β: κατεπεσόντος Ο καὶ κινουμένης Ο: καὶ κινουμένης καὶ κινουμένης Β 19. θαλάσσης πάντα κατακαλυπτούσης καὶ Ο: λείπουσι Β 19-20. καταπεσόντος Ο: ἐκπεσόντος Β 20. ἑλκομένων Β: ἑλκομένων Ο 22. πολιὰς συρομένας Β: πολιᾶς σειρομένας Ο 23. παρθενώνων Β: παρθενόνων Ο

μὴ ὅ τι ποτέ ἐστι Πόλις ἤδεσαν. Αἱ ἀγυιαὶ πλήρεις νεκρῶν, τῶν μὲν ἐν τῷ φεύγειν πεφονευμένων, τῶν δὲ γενναίως μὲν ἀνδρισαμένων, οὐκ ἰσχυσάντων δὲ πρὸς τοσούτους. Πάντα θρῆνος, ἐπὶ πολὺ τοῦ ἀέρος διήκων· πάντα κοπετός· πάντα δάκρυα, τῶν μὲν τὴν τῆς πατρίδος ἀνάστασιν θρηνῳδούντων, τῶν δὲ τὴν τῶν συγγενῶν καὶ παίδων ἀπώλειαν καὶ τὴν τῆς πατρίδος βιαίαν ἀπόστασιν, πάντων δὲ τὴν αἰσχίστην δουλείαν καὶ ἀπροσδόκητον.

Ὦ, τίνων ἀκουόμενα ταῦτα δακρύων οὐ τοὺς ὀφθαλμοὺς ἐμφορεῖ; Τίς ἠλίθιος οὕτως καὶ λιθίνης καρδίας, ὃς μὴ δάκρυ τῶν ὀφθαλμῶν ἀποπέμπει καὶ τὰς τῶν δακρύων πρὸς τὸ πάθος ἀνορύττει πηγάς; Φεῦ, ἡμῖν αἱ τῶν ἀγαθῶν ἐλπίδες οἴχονται πᾶσαι, καὶ νῦν ἡμῖν οὐδὲν τῶν δυσχερῶν ἀπροσδόκητον, οὐδὲν τῶν ἀπευκταίων ἀνέλπιστον, μᾶλλον δ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, πάντα συλλήβδην τῶν δυσχερῶν ἀπροσδοκήτως ὑπέστημεν καὶ νῦν οὐδὲν τῶν κακῶν ἡμῖν προσδοκώμενον. Οὐδὲν οὐχ ὅπερ τῶν ἀπευκταίων οὐχ ὑφιστάμεθα. Πάντα ἡμῖν ἀθρόως ἐπεγένετο καὶ τὰ πάλαι καὶ προσδοκώμενα. Καὶ νῦν οὐκ ἔστιν ὅπερ ὁ χρόνος ἐξεύροι τῶν δυσχερῶν, εἰ μὴ θάνατον εἴπῃς, ὃν ἀσπαζόμεθα καὶ τῶν παρόντων ἐλευθερωτὴν περιμένομεν.

Ὦ τίνες ἐξ οἵων γεγόναμεν; Ποῦ ποτε οἴχονται αἱ παρ' ἡμῖν ἐλπίδες ἐκεῖναι; Ὦ πῶς διεσπάρημεν πανταχοῦ θέατρα ἐλεεινὰ καὶ δακρύων ἄξιοι, καὶ πάντων ὁρώμενοι καὶ ἀκουόμενοι δακρύων τοὺς ὀφθαλμοὺς ἐκπληροῦμεν; Ὦ γῆ καὶ ἥλιε καὶ οὐρανὲ καὶ ἀστέρες· ὡς γὰρ ἐμψύχοις ὑμῖν διαλέξομαι· οἵαν ἰδεῖν ὑπέστητε ξυμφοράν, πῶς

1. ὅ τι ποτέ ἔγραψα: ὅτί ποτε ΒΟ ἤδεσαν Β: εἴδεσαν Ο ἀγυιαὶ Β: ἀγϊαὶ Ο πλήρεις ἔγραψα: πλήρεις (η) Β: πλήρη Ο 2. γενναίως Β: γεναίως Ο 3. τοσούτους Β: τὸσοῦτους Ο θρῆνος Β: θρήνος Ο 4. διήκων Β: διηκόνουν Ο 5. θρηνῳδούντων Β: θρηνοδούντων Ο παίδων Β: τέκνων 8-12. ὦ τίνων—ἀπροσδόκητον Β: λείπουσιν Ο 8. ἀκουόμενα ἔγραψα: ακουόμενα Β 10. ἀνορύττει ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀνωρύττει Β 11. οἴχονται ἐκ τοῦ τὸ πρῶτον γραφέντος ᾤχονται Ο 12. ἀπευκταίων Β: ἀπευκταίων (ε) Ο 13. τἀληθὲς Β: τ'ἀληθὲς Ο 15. ἀπευκταίων οὐχ Β: ἀπευκτέων οὐχ' Ο 16. πάλαι καὶ Β: πάλαι Ο 17. ἐξεύροι Β: ἐξεύρει Ο εἴπῃς Β: εἴπεις Ο 19. ὦ Β: φεῦ Ο οἴχονται Β: ᾤχοντο Ο 20. ὦ Β: οἴμοι Ο πανταχοῦ Β: πανταχῆ Ο 21. ἀκουόμενοι Β: ἀκουομενοι Ο 22-23. ὡς γὰρ—διαλέξομαι Β: λείπουσιν Ο 23. ὑμῖν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἡμῖν Β οἵαν ἰδεῖν Β: οἱ οἵων ἂν εἰδεῖν Ο ξυμφορὰν Β: συμφορᾶν Ο

δ' οὐ κατεπέσατε, πρὶν ἢ ταῦτα συμβῆναι, εἴ γε ὑμῖν ἀψύχοις οὖσιν αἴσθησις ὁποσονοῦν ἐπιγίνεται τῶν δεινῶν; Πλὴν ἀλλ' οἶμαι καὶ μέχρι τῶν ἀψύχων ἀφικέσθαι νυνὶ τὴν ὑπερβολὴν τῶν δεινῶν. Σὺ δ' οὖν, ὦ ἥλιε, πῶς μὲν ἐν ἄλλοις εἰς σκότος μεταβέβλησαι πάθεσιν, ἐνταῦθα δὲ οὐ τοσοῦτον ἐφάνης παθών, ὅτε, καὶ εἰ μὴ πάλαι, νῦν γοῦν ἐχρῆν σε τοῦτο παθεῖν; Ἆρ' ἵνα τοῖς πολεμίοις χαρίσῃ ἢ ὅπως ἡμῖν εἰς δῆλα καταστήσας τὰ δυσχερῆ εὐγενῶς παράσχῃς ἀποθανεῖν; Ἀλλὰ σὺ μὲν τὰ δίκαια παθὼν τοιοῦτος ἐφάνης ἡμῖν. Ἡμεῖς δ' οὐκ οἶδ' ὅπως φιλοζωήσαντες τοιαύτην ἀγενῶς ἰδεῖν ὑπέστημεν συμφοράν.

Ἀλλὰ τίσι πρὸς τὴν δευτέραν χρηστέον ἡμῖν συμφοράν, τὴν μετὰ τὴν συμφορὰν συμφορὰν καὶ μετὰ τὴν ζάλην ἑτέραν ζάλην καὶ τοσοῦτον δυσχερεστέραν ὅσον μετὰ τὴν ἀφόρητον ἐκείνην ἐπῆλθεν ἡμῖν; Ἑάλω μὲν οὕτως ἡ πόλις δεινῶς, καὶ οἱ μὲν ἔκειντο μακαρίως ἀποθανόντες, οἱ δ' ἔζων ἐν ἀφορήτοις δεινοῖς, παραμυθίαν ἴσως ἔχοντες οὐ μικρὰν τὸ τοὺς ἐν τέλει καὶ πρώτους τῆς πόλεως ἐν τοῖς ζῶσιν εἶναι καὶ πρὸς ἐλπίδας κρείττους τετάχθαι. Τὸ δὲ ἦν ἄρα δόλος σαφὴς καὶ πρὸς τὰ μέλλοντα θρῆνος ἀπαραμύθητος καὶ τῆς τοῦ συνάγοντος γνώμης ἄξιον. Συνήγοντο μὲν οὖν ἴσως ἐπὶ προφάσει χρηστῇ, καὶ πρὶν ἢ καθαρῶς συναχθῆναι τὴν τῶν καταδίκων ἀπόφασιν ἐξεδέξαντο, καταδίκως ἀποθανόντες οἱ μηδὲν ἀδικοῦντες παρὰ βαρβάρων, οἱ ἥρωες ὄντως καὶ παντὸς τοῦ κόσμου ἀντάξιοι, οἱ τοσοῦτον ἐπ' ἀγαθοῖς λελαμπρυσμένοι ὅσον οὐρανὸς τοῖς ἄστρασιν ἐλλαμπρύνεται. Ἀλλ' οἱ μὲν οὕτω καταψηφισθέντες ἐν τοῖς τῶν μακάρων νυνὶ

1. ὑμῖν Β: ἡμῖν Ο 2. ὁποσονοῦν ἔγραψα: ὁπωςονοῦν Β: ὁποσονοῦν Ο ἐπιγίνεται Β: ἐπιγίνετο Ο 3. δεινῶν Β: κακῶν Ο 4. πάθεσιν Β: πάθεσί Ο 5. δὲ Β: δ' Ο παθὼν Β: παθῶν Ο καὶ εἰ Ο: εἰ καὶ Β 6. σε Ο: λείπει Β χαρίσῃ Ο: χαρίσῃ ἐκ τοῦ τὸ πρῶτον γραφέντος χάρισῃ Β ὅπως Β: εἴπως Ο δῆλα Β: δήλω Ο 7. παράσχῃς Β: παράσχεις Ο 8. δ' Ο: δὲ Β 8-9. φιλοζωήσαντες ἔγραψα: φιλοζοήσαντες ΒΟ 9. ἰδεῖν Β: εἰδεῖν Ο συμφορὰν Β: συμφορᾶν Ο 10. ἀλλὰ—ἡμῖν συμφορὰν Β: λείπουσιν Ο 11. συμφορὰν συμφορὰν Β: συμφορᾶν συμφορᾶν Ο 12. ἡμῖν Ο: ἡμῖν συμφορὰν Β 16-17. σαφὴς Β: σαφῆς Ο 17. καὶ—ἀπαραμύθητος Ο: λείπουσι Β πρὸς τὰ ἔγραψα: προστὰ Ο ἀπαραμύθητος ἔγραψα: ἀπαραμύθητος Ο 19. συναχθῆναι τὴν τῶν Ο: τὴν τῶν Β (συναχθῆναι) 20-21. παρὰ βαρβάρων Β: παραβαρβάρων Ο 21. ἥρωες ὄντως Β: ἥρως ὄντες Ο 22-23. ἐλλαμπρύνεται Β: ἐλαμπρύνεται Ο

Εργ. Δ.της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τελοῦσι χοροῖς, συνευφραινόμενοι τοῖς δικαίοις καὶ τοῖς μάρτυσι συνηδόμενοι. Οὐδὲ γὰρ ἐχρῆν τοὺς οὕτω γεννάδας καὶ λαμπροὺς ζῆν, τῆς Πόλεως ἐκ μέσου γεγενημένης. Οὔτε γὰρ τὴν πόλιν εἶναι χωρὶς ἐκείνων δίκαιον ἄν τις εἴποι, τοὺς οὕτω ταύτην κοσμοῦντας, οὔτε τούτους ζῆν ἄνευ τῆς λαμπροτάτης ἐκείνης καὶ οὐρανίας πόλεως καὶ μηδ' ἂν πόλιν τῆς ἑαυτῶν ἀξίαν εὑρόντας καὶ τοῦ μεγέθους ἐκείνων χωρητικήν. Ὁ δὴ καὶ καλῶς ποιῶν ὁ πάντ' ἐφορῶν ὀφθαλμὸς ἐν τοῖς μακάρων καὶ οὐρανίοις ἐνέταξε τούτους καὶ τοὺς σὺν αὐτοῖς ἀποθανόντας χοροῖς, στεφάνων οὐ μικρῶν ἀξιώσας. Ἡμεῖς δέ, φεῦ, ἐν τοῖς ζῶσιν ἐναπελείφθημεν, γόους καὶ δάκρυα καὶ ἀφορήτους ὀδύνας ἐπιμετροῦντες.

---

## 4*

## [Ἀνωνύμου μονῳδία].

Ὦ τῆς κοινῆς ἀθλιότητος· ὦ βαρείας καταδίκης· ὦ τοῦ ἐξ ἀρχῆς ἐπενεχθέντος ἡμῖν ἐπιτιμίου διὰ τὸ πικρὸν ξύλον καὶ τὴν δεινὴν ῥᾳθυμίαν καὶ τὴν ἄλογον τοῦ καρποῦ μετάληψιν καὶ τὴν τῆς ἐντολῆς τοῦ θεοῦ παρακοήν. Ὦ πικρὰ τοῦ θανάτου δρεπάνη, οἵαν καὶ νῦν ἡμῖν ἐπήγαγες συμφοράν, οἷον ζωῆς ἄσταχυν ἐξεθέρισας, οἷον φυτὸν εὐθαλὲς καὶ κατάκαρπον ἐξορώρυχας, οἵαν ἄμπελον εὐθηνοῦσαν ἐκτέτμηκας. Ὦ τῆς κοινῆς ζημίας. Πόθεν ἄρξομαι τῶν ὀδυρμῶν; Ἀναξαίνει τὸ πάθος τὰς πρότερον συμφοράς, καὶ ὧν πρὸ μικροῦ πολλῶν καὶ πολλάκις ἐστερήμεθα θαυμασίων ἀνδρῶν ὑπομιμνήσκει. Τοῖς μὲν

1. χοροῖς B: χωροῖς O 2. ἐχρῆν B: ἐχρὴν O 3-4. εἶναι χωρὶς ἐκείνων O: χωρὶς ἐκείνων εἶναι B 4. τούς—κοσμοῦντας ἐγράφη πάντως οὕτως ὑπ' αὐτοῦ τοῦ συγγραφέως ἀντὶ τῶν—κοσμούντων 6. μηδ' ἂν B: μηδὰν O ἀξίαν ἔγραψα: ἀξίας BO 7. ὁ B: ὃ O 8-9. καὶ—ἀποθανόντας B: λείπουσιν O 9. χοροῖς B: χωροῖς O δὲ φεῦ B: δ' O Μετὰ τὸ ἐπιμετροῦντες ἐν τῷ B :– Τέλος. σχεδίασμα. ἐγράφη ἐν τῇ αἴνῳ :–

* Περιλαμβάνεται ἐν φ. 232ᵃ-233ᵃ τοῦ ὑπ' ἀρ. 2075 κώδικος τῆς Ἐθνικῆς βιβλιοθήκης Παρισίων, γεγραμμένου τῷ 1439 ὑπὸ Ἰωάννου Εὐγενικοῦ.

14. δεινὴν ἐκ τοῦ τὸ πρῶτον γραφέντος δανὴν

γε πλείοσι μεταστᾶσιν εἶχεν ὅθεν ἄν τις παραμυθήσαιτο, γήρᾳ τε καὶ νόσῳ τρυχωθεῖσιν ἐνίοις καὶ ἀποχρώντως τῷ βίῳ καὶ τῇ παρούσῃ ζωῇ λειτουργήσασιν, ἑτέροις δ' αὖ ἐν νεότητι μέν, ἀμφιβόλως δ' ἂν οὕτως οὖσιν, εἰ γενναῖον τὸν καρπὸν προενέγκοιεν. Ἐνταῦθα δὲ τί ποτε τοιοῦτον ἡμῖν παραμύθιον; Τί τῆς πληγῆς ἔσται φάρμακον; Πρὸς τί βλέψαντες ἑαυτοὺς ἀνακτησαίμεθα; Οὐχ ὡς ἐν ἀκμῇ μεσημβρίας οἱόν τις ἐκλελοιπὼς ἥλιος καὶ γνόφον καὶ σκότος καὶ ζάλην καὶ δεινὴν ἀμορφίαν καταχέας ἡμῶν; Οὐχ ὡς πηγὴ διειδὲς οἷον καὶ πότιμον ἀφθόνως τοῖς διψῶσι βλύζουσα συνεχώσθη; Οὐχ ὡς παρὰ τὰς διεξόδους τῶν θείων ὑδάτων πεφυτευμένος θεοφιλῆ καρπὸν τὸν μὲν ἔδωκε, τὸν δὲ ἐδίδου, τὸν δέ, πιπτέτω φθόνος, καὶ δώσειν ἔμελλεν ἐν καιρῷ; || Ἀλλ' ἀπερρύη, ἀλλ' ἀπήνθησεν, ἀλλ' ἐκκέκοπται, μᾶλλον φ. 233v
δὲ πρὸς ἄλλον κόσμον καὶ ἄλλον λειμῶνα μεταπεφύτευται.

Ἕλκομαι τῇ μνήμῃ πρὸς τὴν ὄψιν ἐκείνην, εἶδος ἐκεῖνο, μορφὴν ἐκείνην, τὴν θεοειδῆ καὶ κρείττω ἢ κατ' ἄνθρωπον, φθογγὴν πάσης μουσικῆς ἁρμονίας θελκτικωτέραν καὶ σειρήνων ἁπασῶν ἐπαγωγοτέραν καὶ παντὸς μέλιτος ἡδυτέραν. Τίς Ὀρφεὺς ἢ Θάμυρις, τίς ὁμηρικὸς Νέστωρ λιγὺς ἀγορητὴς οὐχ ἥττων παραβαλλόμενος; Τίς μὲν ἦθος μᾶλλον ἐκόσμησε καὶ γλῶτταν ἐπαίδευσε καὶ ὄμμα ἡμέρωσε καὶ τοὺς πόρρωθεν πρὸς ἑαυτὸν εἵλκυσε, καὶ παρακατεῖχεν ἑλκύσας ἀρρήτοις δεσμοῖς κατὰ τὴν μαγνήτιδος λίθου δύναμιν; Τίς δὲ κρεῖττον τῷ μεγαλοπρεπεῖ τὸ μέτριον κεκέρακε φρόνημα καὶ τὸ τῆς ἀρχῆς ἐμβριθὲς τῷ προσηνεῖ τοῦ ἤθους ἀνέστειλεν, ὡς μηδὲν θάτερον ὑπὸ τοῦ ἑτέρου μηδ' ὁπωσοῦν παραβλάπτεσθαι; Τίς ἀρετὴν μᾶλλον ἐτίμησεν ἢ κακίαν ἐκόλασεν; Τίς οὕτω μισοπόνηρος τὴν γνώμην καὶ ἅμα φιλάγαθος καὶ φιλάνθρωπος; Τίς τοὺς ἐχθροὺς τοῦ θεοῦ καὶ τῆς ἀληθείας τέλειον μῖσος μεμίσηκεν ἢ τοὺς φίλους μᾶλλον ἠγάπησεν; Ἐγὼ δέ σε ἤλπιζον, ὦ πάντα ἄριστε, ταῖς τοσαύταις καὶ τηλικαύταις τῶν θείων ἀνδρῶν εὐχαῖς μὴ ἄν ποτε μηδὲν δεινὸν ὅλως παθεῖν, μηδὲ τοσαύτην ἡμᾶς ὑποστῆναι διὰ σὲ ζημίαν καὶ συμφοράν, ἀλλ' εἰ μὴ ἀθάνατον, ἀλλ' οὖν ἐν γήρᾳ μακρῷ κρείττω διαμεῖναι τῶν ἀνθρωπίνων παθῶν. Νῦν δὲ πόθεν τοσοῦτον ἀνιαρόν; πῶς ἡ τοσαύτη

1. τὲ    9. τας    16. ἁρμονίας ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἁρμωνίας
24. μὴδ    32. ἀνθρωπίνων διὰ προςθήκης συνεσφιγμένου ν εἰς τὸ γραφὲν τὸ πρῶτον ἀνθρωπίνω    ἀνιαρὸν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀσ...;

συμφορά; πόθεν ἡμῖν τοσοῦτον πένθος, ἢ πάντως, ὡς ἔοικε, διὰ τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν ἡμετέρων κακῶν καὶ τηλικοῦτον ἡμῖν ἐπῆλθε δεινόν, καὶ ὅσον πρὸ μικροῦ ταῖς σαῖς ἐνευφραινόμεθα χάρισι, τοσοῦτον ἤδη καὶ πολλῷ πλέον πενθοῦμεν αἴφνης πάντων ἐστερημένοι. Μὴ ὄφελον ἰδεῖν τὸ πλῆθος τῶν ἐκ θεοῦ σοι χορηγηθέντων καλῶν ἢ τέως ἰδών, ἀλλὰ μὴ ἐκ παιδός, μηδὲ συνεχῶς || φ.233ν ἀεί, εἰ δὲ καὶ τοῦτ' ἦν ἀνάγκη, ἀλλὰ μὴ νῦν μάλιστα διατεθῆναι καὶ οἷον προσεμφῦναί σοι καὶ τὰ πάντα ἐν πᾶσι γενέσθαι. Οἴμοι· σὲ μὲν παρεμυθούμην πρότερον ἤδη πέρυσιν ἐπὶ τῇ τῶν φιλτάτων ἀποβολῇ καὶ φιλοσοφῆσαι τὸ πάθος καὶ γενναίως ἐνεγκεῖν παρεκάλουν· ἐλάνθανον δὲ ἄρα μετ' οὐ πολὺ τῶν ὁμοίων αὐτὸς πρός τινος δεησόμενος ἐπὶ σοί.

---

## 5.

## [ Ἀδήλου μονῳδία ἀκέφαλος ]*

. . . Ἠφάνισται τὰ πολλὰ καὶ μεγάλα θεάματα, τὸ ἀρχαῖον καὶ μεγαλοπρεπὲς τῆς βασιλείας Ῥωμαίων ἐντρύφημα. Ὦ θείων οἴκων ἐκείνων λαμπρότητες καὶ κόσμοι καὶ περιφάνειαι, παντὸς σεβασμοῦ, πάσης αἰδοῦς, πάσης εὐλαβείας ἀξιούμενα καὶ μόνον ὁρώμενα. Ὦ σεπτῶν εἰκόνων φιλοκαλίαι καὶ φιλοτιμίαι. Ὦ κειμηλίων ἱερῶν ἀστραπαὶ καὶ πάντιμος αἴγλη καὶ πάναγνα κάλλη. Ὦ βίβλων θεοσόφων θησαυροὶ καὶ χρήσεις νόμιμοι καὶ κατὰ καιρὸν ἐν παντὶ τῷ τῆς χρείας. Ὦ πάντ' ἀλλήλων πολὺ τὸ ἐφάμιλλον ἔχοντα τοῖς ἄνω τὰν μέσοις τὰ κάτω καὶ πάντα πᾶσιν ἀντιστίλβοντα πάσῃ ἐπιμελείᾳ τοῖς ἄνω καὶ πέριξ τὰ κατ' ἔδαφος, μικροῦ καὶ πατεῖσθαι δέος ἐμποιοῦντα. Ὦ τάξις ἱεροτελεστίας ἁπάσης καὶ τύποι καὶ τρόποι καὶ ἀρετῆς ἁπάσης διατάγματα τελεσφόρα, πάσης σεμνότητος, πάσης εὐαρμοστίας, πάσης θεουργοῦ καὶ θεοπρεποῦς διαθέσεως, θειασμοῦ καὶ ῥᾳστώνης ἀρ-

6. μὴδὲ  7. προσεμφῦναι

* Περιλαμβάνεται ἀκέφαλος ἐν τῷ Παρισιακῷ κώδικι Suppl. grec 681, φ. 71ᵃ.

12. ἠφάνιστη ταπολλὰ  τὸ ἀρχαῖον· τὸ ἀρχαῖον  13. βασιλεῖας

15. πᾶσης  16. ἱερῶν  17. πάνανα  22. ἀπάσης  24. θεοῦργου

ρήτου γαλήνης τε καὶ γλυκυθυμίας δημιουργὰ ταῖς ψυχαῖς καὶ κράσεως θεολήπτου αὐτόθεν τοῖς χρωμένοις πᾶσι, τοῖς ὁρῶσι, τοῖς ἐντυγχάνουσιν. Ὢ θείων ὕμνων κρότοι καὶ χορεῖαι πάνσεμνοι καὶ παντὸς ἐνθουσιασμοῦ χορηγοί. Ὢ μέλη χαριστήρια θεοῦ καὶ τῶν θείων δοξαστήριά τε καὶ ἱκετήρια, τοῖς ἀγγελικοῖς καὶ ἐπουρανίοις, ὡς εἰπεῖν, πρέποντα σύμφωνά τε καθ' ἅπαξ καὶ παραπλήσια τακταῖς τῆς ἡμέρας ὥραις καὶ σχεδὸν πανη‖μέρια, τακταῖς τῆς νυκτὸς καὶ μὴ ἔτι φ. 74v πάννυχα. Ὢ τῶν ἀντιφθόγγων καὶ ἀντιφώνων ᾀσμάτων τοῖς ἑκατέρωθεν θιασώταις καὶ λατρευταῖς τῆς θείας ἐν πρώτοις μεγαλειότητος. Ὢ συνόδων αὐτοῖς κοινῶν, ἣ δὴ καὶ νομίζεται, τοῖς ὕμνοις. Ὢ διαστάσεων ὡσαύτως ᾗ δεῖ. Ὢ σιωπηλῆς ἐν γαλήνῃ τῶν λογισμῶν ἀνθομολογήσεως τῷ δεσπότῃ. Ὢ μεγαλοφώνου δοξολογίας καὶ βακχείας εὐήχου σὺν τῷ σεμνῷ καὶ πάνυ κοσμίῳ. Ὢ πρόοδοι καὶ φωταύγειαι πλούσιαι καὶ λαμπρότητες δαψιλεῖς. Ὢ συστολαὶ καθ' ἅπαξ εὐσχήμονες καὶ μετριότης ἅπασα τῷ πρὸς θεὸν δέει, πᾶν ἀποδιδοῦσα τῷ δεσπότῃ σὺν τῷ ταπεινῷ καὶ δυσωπητικῷ τίμιον. Ὢ μοναστῶν φροντιστήρια κοσμιώτατα καὶ μάλα τοῖς οἰκείοις ἤθεσιν ἐμπρέποντα. Ὢ σεμνότητος μεγαλόφρονος ἐπὶ θειασμοῖς καὶ πᾶσιν ἤθεσι καὶ τρόποις εὐσχήμοσι.

Ταῦτ' οἴμοι, πάντα, δέσποτα θεὲ πάντων ἐπόπτα καὶ κυβερνῆτα, νῦν οἴχεται, καὶ πατεῖ σου καὶ βεβηλοῖ τοὺς ἱεροὺς οἴκους καὶ τὰς σὰς ἑστίας καὶ τὰ πάνσεμνα τῶν σῶν μυστηρίων καὶ τελετῶν οἰκητήρια μιαρωτάτων καὶ βδελυρῶν καὶ δυσσεβάστων ἀνδρῶν καὶ ἀλιτηρίων τῆς ἀνθρωπίνης φύσεως καὶ τῆς περὶ σὲ θεοσεβείας πλήθη. Ὢ πῶς καὶ λέγων καὶ μεμνημένος ζῆν ὅλως οἷός τέ εἰμι καὶ οὐκ αὐτόθεν αὐτίκα ἐκλείπω τὸ ζῆν; Ἔγωγέ τοι τάχει λαμβάνων εἰς νοῦν ἑκάστοτε, λαμβάνω δὲ συνεχῶς ἤ, τό γε ἀληθέστερον εἰπεῖν, ἀδιαλείπτως· οὐ γὰρ ἔχω λήθην τρόπῳ γέ τινι τούτων παθεῖν ‖ πρὸς βραχὺ φ. 75r καὶ ἴσως ἐρῶν καὶ βουλόμενος καὶ τῆς τοσαύτης συμφορᾶς ἀποστῆσαι τὸν νοῦν· αὐτίκα αὐτόθεν λύομαι τὸ ζωτικὸν τῆς καρδίας πνεῦμα καὶ

1. τὲ γλυκυμύθειας 2. ορῶσι 4. ἐνθουσϊάσμοῦ θεῖων 6. σΰμφωνά καθάπαξ τακτοῖς 7. ὄροις τακτοῖς 14. καθάπαξ 22. τελετων Ἀντὶ τοῦ μιαρωτάτων ἤρχισε τὸ πρῶτον γράφων μικρ 25. ζῆν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ζω τὲ 26. τάκεῖ 28. προσβραχὺ

Σ.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ζοφοῦμαι. Οὐ μὴν ἀλλὰ τὴν πρόσφατον ταυτηνὶ καὶ ἐξ ὑπογυίου συμβᾶσαν συμφορὰν ἀναλογιζομένῳ ἔπεισί μοι αὐτίκα ἀναπολεῖν τὸ ἀνέκαθεν μέγα πτῶμα τῆς παμμήκους πάλαι Ῥωμαίων ἡγεμονίας, ἣν ὁ χρόνος οὐκ οἶδ' ἀνθ' ὅτου τίσι τε λόγοις προνοίας κατ' ὀλίγον ἐκ μακροῦ φθίνουσαν καὶ τῆς οὐσίας καὶ τῆς ἀκμῆς ὑπορρέουσαν συνήλασεν εἰς στενὸν κομιδῇ, ἢ μᾶλλον, ὥςπερ ἐκ κύκλου μεγίστην τὴν περιφέρειαν ἔχοντος, εἰς κέντρον περιστήσας τὸ μῆκος ἐκεῖνο καὶ τὴν ἀκμήν, νῦν καὶ τὸ κέντρον ἠφάνισε.

Τίς γὰρ ὅλως τοσούτου πράγματος γένοιτ' ἂν ἀμαθής, τίς δ' οὕτως ἀναίσθητος; Ἐκ τῶν παλαιῶν λειψάνων ὁ χρόνος ἀεὶ θησαυρίζει καὶ τῆς ἐθίμου μέχρι νῦν ἀγωγῆς καὶ καταστάσεως, ὅςτις μὴ ξυλλογίζοιτο τὰ φθάσαντα τῆς μεγίστης καὶ παμπληθοῦς τύχης καὶ ἀρετῆς καὶ παντοίας εὐεξίας τῆς Ῥωμαίων ἡγεμονίας. Βρεττανικαὶ πρὸς ἑσπέραν νῆσοι καὶ ὑπὲρ Εὐφράτην πρὸς ἕω καὶ ὑπὲρ Ἴστρον καὶ Γερμανοὺς καὶ Κελτίβηρας καὶ Τάναϊς καὶ Καύκασος καὶ Κασπία θάλασσα πρὸς βορρᾶν καὶ πρὸς νότον ὑπὲρ Αἰθίοπας εἴσω καὶ τὴν Ἀράβων εὐδαιμονίαν καὶ κατὰ Λιβύην ὅσον οἰκούμενον τὰ Ῥωμαίων φ. 75ε ὡρίζοντο μήκη καὶ θάλασσα πᾶσα καὶ ὅση κατὰ θάλασσαν ἐ||ν νήσοις οἴκησις ἐν μέσῳ τῆς κατὰ Ῥωμαίους ταύτης ἡγεμονίας, ὅσα καὶ ποταμῶν ῥοαί τινες ἐν μέσῳ χώρας ἡςτινοςοῦν.

Νῦν δὲ κατέστη καὶ γέγονεν ἐν στενῷ κομιδῇ ἢ μᾶλλον ἠφάνισται καὶ ἐξήλειπται τέλεον, καὶ γεγόναμεν τίνων οὐκ ἀθλιώτεροι, ταπεινωθέντες ἐκτόπως καὶ οἷον ὑπὸ θηρίων ἀγρίων ἀναρπαζόμενοι, καὶ σβέννυται μὲν ὑπὸ τῶν ἀσεβούντων ἐχθρῶν τὰ Χριστοῦ μου δόγματα καὶ μυστήρια, καταπατεῖται καὶ βεβηλοῦται τὰ θεῖα, οἱ δὲ τοῦ μεγάλου καὶ περιδόξου καὶ παντίμου καὶ περιφανοῦς ἐκεῖθεν ὀνόματος ἐπώνυμοι καὶ τῆς μεγίστης καὶ παναμώμου θρησκείας λατρευταὶ καὶ προςκυνηταὶ θέαμα, οἴμοι, ἐλεεινόν, ἄτιμον ἐμπνέοντες καὶ δούλειον ἦμαρ ἄγοντες ὅσοι μὴ τὸ ζῆν ἀπέβαλον μαχαίρας γενόμενοι παρανάλωμα, ὑπ' ἀνόμων ἑλκόμενοι καὶ ἀτιμαζόμενοι, οἱ τῆς εὐγενοῦς

1. ταῦτηνὶ ὑπογύου ἀντὶ τοῦ πρώτου υ γραφέντος τὸ πρῶτον α

4. κατολίγον 6. μάλλον 9. τόσούτου τίς 10. ψάνων (λει)
12. πανπλήθοῦς 13. βρετανικαὶ 16. βορρὰν 19. ταῦτης
25. ταθεῖα 30. ἄγοντας

Ε.Υ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀγωγῆς, τὰ τῆς παμμήκους ἐλευθερίας θρέμματα, οἱ τῆς πολιτικῆς ἀγλαίας καὶ χάριτος ὄρπηκες, οἱ τῶν ἐθνῶν κοσμήτορες καὶ τῆς ἐν ἤθει καὶ λόγοις καὶ πράξεσιν ἀρετῆς τὰ περιφανῆ βλαστήματα καὶ περίδοξα.

Οἴμοι τίς ἂν τοὐντεῦθεν γένωμαι καὶ ποῖ τράπωμαι; Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων, Ἱερεμίας φησί. Τίνα φωνὴν ἐπαφήσω ἀρκοῦσαν ἐξαγγεῖλαι τὴν συμφοράν; Ποῖαι πηγαὶ δακρύων κακοῖς τοσούτους ἀρκέσουσι; Τίς λόγος ἐξισωθῆναι τῷ πάθει δυνήσεται; Ὦ τῆς ἀποφράδος ἐκείνης ἡμέρας; || Ἵνα φ. 76α τί, ὦ ἥλιε, ἀνατολὴν τηνικαῦτα ἠνέσχου, καὶ οὐ παλίνδρομος ὑπὸ γῆν ἐξ ἕω πρὸς ἑσπέραν παρήλασας, ἀνασχὼν δή; Διὰ τί μὴ τὰς ἀκτῖνας συστείλας καὶ τῇ συμφορᾷ ζοφωθεὶς τὴν οἰκουμένην σκότους ἐπλήρωσας; Ὦ καταιγίδος ἐκείνης, ὦ λαίλαπος, μᾶλλον δὲ σκηπτοῦ καὶ τυφῶνος, ἄφνω τὰ καθ᾽ ἡμᾶς μιᾷ προσβολῇ ἀνατρέψαντος. Ὦ μηχανημάτων ἐκείνων καὶ ἑλεπόλεων, οἷς ἐσείσθη καὶ κατέπεσε τείχη, φιλοτίμως ἄγαν καὶ σθεναρῶς τὴν ἀρχὴν ἐγερθέντα καὶ μέχρι τοῦδε ἄσειστα καὶ ἀκατάθετα διαμείναντα. Ὦ συμφορᾶς ἀπαραμυθήτου, ὦ δυστυχήματος μηδεμίαν ἐπιδεχομένου ὑπερβολήν. Ὦ ξίφους ἐκείνου, ὦ χειρὸς παλαμναίας τὸ ξίφος ὠθούσης, ὑφ᾽ οὗ ὁ πιστῶς βασιλεύων τρωθεὶς ἔπεσεν, ὁ τῷ πολιούχῳ ἐπώνυμος, ὁ πολλῶν βασιλέων ἀπόγονος, ὁ μηδενὸς τῶν τῆς βασιλείας ἀπολαύσας καλῶν πλὴν αὐτῆς τῆς προσηγορίας, ὁ τὴν βασιλείαν Ῥωμαίων ἑαυτῷ συναναιρεθεῖσαν ἐνθάψας. Ἀλλ᾽ ὁ μὲν βασιλεύων ἐννόμως ἔπεσεν, ἡ βασιλὶς ἑάλω, οἱ δὲ προϊστάμενοι τῶν ἐπάλξεων καὶ τειχήρεις κύκλῳ τῇ πόλει οἷς εἶχον μηχανώμενοι σωτηρίαν, τὴν κακὴν ἀγγελίαν δεξάμενοι καὶ τὸν πόλεμον χύδην περιιόντα εἴσω τειχῶν ὁρῶντες, οἱ δυστυχεῖς τῆς στάσεως ἀκόσμως ἐξέπιπτον, ἐσφάττοντο, ἤγοντο· γυναῖκες ὑβρίζοντο ἐλεεινῶς, παμπληθεὶς || ἐξηνδραποδίζοντο. φ. 76β Ὁ δέ γε πολέμιος, τὸ μέγα παραστησάμενος ἄστυ, θριαμβεύων εἰσῄει, τὸ τῆς Ἄγαρ γέννημα κατέσχε τὴν κληρονομίαν ἡμῶν, ὁ βύθιος δράκων, ὃν ἡ τύχη καθ᾽ ἡμῶν ἐξέθρεψε καὶ ἐγέννησε, κατέπιε τὴν πόλιν ἡμῶν, τὸ τῆς ἐρημώσεως βδέλυγμα ἔστη ἐν τόπῳ ἁγίῳ, ὁ νέος Ναβουχοδονόσορ

5. ποι 10. τί 11. εσπέραν διατῖμή 12. ἀκτίνας 14. ἥμας 16. τήχη 19. πιστὸς 20. τρωθεῖς 24. τηχήρεις 29. παραστῦσάμενος θρυαμβεύων

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΡΓΑΣΤΗΡΙΟΥ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐκάκωσεν ἡμᾶς ἐφ' ἑτοίμοις τοῖς βασιλείοις καὶ πολλῶν καὶ μεγάλων εὐσεβῶν βασιλέων μεγαλουργήμασιν, ὁ τύραννος ὁ νόθος, Ἄδερ ὁ ἀλιτήριος, ὁ φύσει πολέμιος διὰ τὰς ἁμαρτίας ἡμῶν εἰσῆκται τροπαιουχῶν, αἵμασι πιστῶν ἐπιχαίρων καὶ ὥσπερ τι σαρκοβόρον θηρίον τῇ πτώσει τῶν Χριστιανῶν ἀκορέστως ἐντρυφῶν καὶ ἐνσεμνυνόμενος.

Ὢ τῆς ἀνοχῆς σου Χριστέ, ὢ τῶν σοφῶν σου κριμάτων. Οὐ δύναμαι φέρειν τὸν ὀδυρμόν, οὐκ ἰσχύω τὴν τῶν δακρύων ῥοὴν ἐπισχεῖν, οὐκ ἐξυπηρετεῖ μοι ὁ νοῦς, ἡ γλῶττα, αἱ χεῖρες πρὸς ἐξαγόρευσιν τῶν ἀνηκέστων δεινῶν. Τί ἂν τις ἐκτραγῳδείη πάντα τὰ τότε δεινά, μᾶλλον δὲ τίς ἄν, καίπερ μάλα βουλόμενος, δυνηθείη; Σιγήσω τοιγαροῦν καὶ τῇ ἐνδομυχούσῃ μου τῇ πολυτλήμονι καρδίᾳ φλογὶ κατ' ὀλίγον δαπανηθήσομαι ὡσεὶ φρύγιον.

Ἀλλὰ λόγους ἀποδοῦναι καὶ αἰτίας εὑρεῖν οἷς ἡ μεγάλη τοῦ θεοῦ πρόνοια ταῦτα παραχωρεῖ γίνεσθαι οὐ τοῦ παντός, ἤ, βέλτιον εἰπεῖν, φ. 77r || οὐδενός. Τίς γὰρ ὅλως ἱκανὸς τῇ οἰκείᾳ φύσει, μὴ μόνος ἄνθρωπος, ζῷον θνητὸν καὶ ῥευστῆς φύσεως, ἀλλ' ἤδη καὶ ἄγγελοι τῇ ἀϋλίᾳ καὶ τῷ νοερῷ καὶ ἁπλῷ τῆς οὐσίας ἀθάνατοί τε ὄντες καὶ τοῦθ' ὅπερ λέγονται νόες καὶ θεῷ πλησιάζοντες καὶ τῇ ἐκεῖθεν ἀποπαλλομένῃ ἀρρήτῳ αἴγλῃ καὶ ἀκαταλήπτῳ λαμπρότητι ἐκματτόμενοι μυστήρια κατανοῆσαι θεοῦ καὶ νοῦν ἀνιχνεῦσαι ἀνεξερεύνητον πάντῃ καὶ ἄληπτον; Μόνος γὰρ ὄντως ἐστὶ θεὸς ὁ πάντα ἀρρήτῳ σοφίᾳ καὶ ἀγαθότητι ἐκ τοῦ μὴ ὄντος παραγαγὼν καὶ τόνδε μορφώσας τὸν ὁρώμενον κόσμον, τάξει ἀνεκφράστῳ καὶ ἀπείρῳ δυνάμει κυβερνώμενον καὶ οἰκονομούμενον, καὶ μόνος αὐτός ἐστιν ὁ κυβερνῶν καὶ συνέχων τὰ σύμπαντα καὶ πάντα τῇ πρὸς ἑαυτὸν ἐπιστροφῇ κινῶν αὐτὸς μὴ κινούμενα. Πρόδηλον δ' ὅτι, ἀγαθὸς ὢν φύσει ἢ μᾶλλον αὐτάγαθος, παντοδύναμός τε καὶ αὐτοσοφία ἀνείκαστος, ὅσα βούλεται καὶ ποιεῖ, βούλεται δὲ πάντ' ἀγαθά, καὶ περαίνει, ὡς μηδ' ἐνεῖναι ὅλως δια-

4. ἐπιχαίνων ὥςπέρ 17. ἁπλῶς αθάνατοί 18. ἐκεῖθεν ἐκ διορθώσεως ἀδιαγνώστων τινῶν ἄλλων γραμμάτων 19. ἐματτόμενοι

20. ἀνῖχνεῦσαι 23. Πρὸ τῶν τάξει — κυβερνώμενον προηγοῦνται τάξει ἀνεκφράστω καὶ ἀπείρω δυνάμει κυβερνώμενον κόσμον διαγεγραμμένα 26. πρόδῖλον

Ε.Υ.Δ.ΕΠ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νοήσασθαι ἄμεινον. Πρόεισι δὲ ἡ ἄπειρος αὕτη καὶ συνεκτικὴ καὶ ἄρρηκτος τοῦ παντὸς οἰκονομία οὐ μόνον ἐπὶ τὴν κοσμικὴν καὶ καθόλου κυβέρνησιν τοῦ παντὸς καὶ τῶν ἀξιολόγων μερῶν αὐτοῦ, ἀλλ' ἤδη κἀπὶ τὰ λεπτότατα τοῦδε μόρια, ὡς ‖ μηδὲν ὅλως ἰθύνεσθαι ἢ κινεῖσθαι ἢ μεταβάλλεσθαι ἀθεεὶ μηδέ τι τῶν ὁπηοῦν ἔξω τελεῖν τῆς πάντα περιλαμβανούσης καὶ περιεχούσης ἀκαταλήπτου προνοίας. Οἰκονομεῖται τοίνυν καὶ οἱονεὶ οἰακοστροφεῖται πάντα χειρὶ θεοῦ καὶ δυνάμει, μηδενὸς τὸ παράπαν αὐτομάτως εἴτ' ἀλόγως γιγνομένου καὶ ἀναιτίως· ἐξήρτηται δὲ πάντα ἑξῆς τῆς ἄνω διοικούσης σοφίας, τὰ καθόλου, τὰ μερικὰ, τὰ μέγιστα, τὰ ἐλάχιστα, τὰ μέσα, ἀρρήτῳ διοικήσει ἀλληλουχούμενα καὶ διατεττόμενα. Πάντα τοιγαροῦν ὑπέρευγε πηδαλιουχεῖται, καὶ πᾶσι θεὸς διαιτεῖ συμφερόντως καὶ πᾶσιν ἐφίεται, τὰ λυσιτελοῦντα ἐφαρμόζων ἑκάστοις ἀνεκφράστῳ σοφίᾳ καὶ ἀπείρῳ δυνάμει, πάντ' εἰδώς, τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα συντηρητικῶς συνέχει καὶ θεοπρεπῶς κυβερνᾷ, ὥστε τῶν γινομένων μὴ χρῆναι ὅλως ὁ τιποτοῦν νομίζειν κακὸν μηδ' ἐπὶ κακῷ καὶ ὀλέθρῳ ξυμβαῖνον· οὕτω γὰρ ἂν κακῶν αἰτίαν περιάψαιμεν τῷ παναγάθῳ καὶ παναρίστῳ θεῷ, οὗ τί ποτ' ἂν γένοιτο τοῖς εὐσεβεῖν προελομένοις ἀτοπώτερον ὅλως ἢ ἀσεβέστερον; Τῶν μέντοι φαινομένων κακῶν ὅσα μὲν τῶν ἐφ' ἡμῖν καὶ τῆς ἡμετέρας θελήσεως τυγχάνει ὄντα ἐκτόκια, ταῦτ' οὐκ εἰς θεόν, ἀλλ' εἰς ἡμᾶς αὐτοὺς εἰκότως ἀναχθείη καὶ τούτων ἡμεῖς αἴτιοι ξὺν δίκῃ λεγοίμεθ' ἄν· ὅσα δ' οὐκ εἰσὶ προαιρέσεως, ἀλλὰ μὴ βουλομένοις ἡμῖν, μᾶλλον μὲν οὖν καὶ παντὶ σθένει ἀποτρεπομένοις καὶ φεύγουσιν ὅμως ξυμ[βαίνει]. . . . . . .

---

1. Τῶν πρόεισι δὲ καὶ ἑξῆς προηγοῦνται πρόισι δὲ πάντ' ἀγαθὰ καὶ περαίνει ὡς μηδ' ἐνεῖναι ὅλως διανοήσασθαι ἄμεινον διαγεγραμμένα 4. ἰθύναισθαι 5. μεταβάλεσθαι ἀθεὶ 6. περιλαμβανοῦσης περιῒχούσης 7. οἱονεὶ 9. ἑξῆς 10. ταμερικὰ ταμέγιστα 12. πηδαλιὐχεῖται 14. τατ' τὰ`τεσόμενα πρῶτ' 15. συντηριτῖκῶς σῦνέχει 17. κακὸν ἐκ τοῦ τὸ πρῶτον γραφέντος κακῶν μὴδ' 23-24. ἀπότρεπομένοις

## 6.

### Παρισιακὸς κῶδιξ

Suppl. grec 467, φ. 191β-193β (Π).

*Θρῆνος τῆς Κωνσταντινουπόλεως*

Νὰ εἰπῶ καὶ ἐγὼ τὸν λόγον τοῦ θείου Δαυὶδ ὁποῦ ἐθρήνει τὴν Ἱερουσαλὴμ «Ὁ θεὸς ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου· ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου· ἔθεντο Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον· ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σοι τοῖς θηρίοις τῆς γῆς» καὶ νὰ εἰπῶ τῶν τριῶν παίδων τὴν ᾠδήν, «Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν· καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθίστων ἀνόμων ἀποστατῶν καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν διὰ τὰς ἁμαρτίας ἡμῶν». Πῶς οὖν τὸ ἐκαταδέχθη ἡ ἐπ' ὀνόματι τοῦ θεοῦ Λόγου κτισθεῖσα Σοφία νὰ γένῃ ναὸς τῶν Ἰσμαηλιτῶν; Φρίξον, ἥλιε, στέναξον, ἡ γῆ, καὶ κλονουμένη βόησον Ἀκατάληπτε Κύριε, δόξα σοι.

Ὁ δὲ ἐλεεινὸς βασιλεὺς Κωνσταντῖνος, καθὼς ἐμπῆκαν οἱ Τοῦρκοι τὸ μέρος τοῦ Ἁγίου Ῥωμανοῦ, ἐπεριπάτει

25-26. τούρκοι

### Κῶδιξ Πολλάνη 39

σ. 283-284 (Α).

*Τὸ πότε ἐπάρθη ἡ Κωνσταντινούπολις*

Ἔτει ἀπὸ κτίσεως κόσμου ,ϛϡξα', ἀπὸ δὲ Χριστοῦ γεννήσεως ,αυνγ', μηνὶ Μαΐῳ εἰς τὰς κθ', ἡμέρᾳ Τρίτῃ. Καὶ εἶναι γεγραμμένον, ὅτι ὁ πρῶτος βασιλεὺς ὁποῦ ἔκτισεν αὐτὴν τὴν πόλιν ἦτον Κωνσταντῖνος καὶ ἄρχισεν ἡ τῶν Ῥωμαίων βασιλεία, ὁ υἱὸς τῆς Ἑλένης, καὶ ὁ ὕστερος βασιλεὺς ἦτον Κωνσταντῖνος, υἱὸς Ἑλένης. Καὶ τὴν ὥραν ἐκείνην ὁποῦ ἐπάρθη ἡ Πόλις ἐσκεπάσθη ὁ ἥλιος καὶ ἔγινε σκότος εἰς ὅλον τὸν κόσμον. Καὶ μὴ βάλῃ τινὰς εἰς τὸν νοῦν του, ὅτι ἔγινεν ἔκλειψις τοῦ ἡλίου, ἀμμὴ τοῦτο ἦτον σημεῖον παρὰ θεοῦ διὰ νὰ ἐγνωρίσῃ ὁ κόσμος ὅλος, ὅτι ἡ βασιλεύουσα τῶν πόλεων παρεδόθη εἰς τὰς χεῖρας τῶν Τούρκων. Καὶ καθὼς ἐμπῆκαν οἱ Τοῦρκοι τὸ μέρος τοῦ Ἁγίου Ῥωμανοῦ, ἐπεριπάτει ὁ ἐλεεινὸς βασιλεὺς Κωνσταντῖνος

Ἐν τῇ ἐπιγραφῇ κωνσταντινοῦπολις 1. ἔτη 6-7. (καὶ κατωτέρω πάντοτε). Κωνσταντῖνος ἄρχησεν 14. βάλλη 15. ἀμὴ 20. τούρκοι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΟΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀπὸ τὰ τείχη καὶ ἔβλεπε διὰ τοὺς ἐχθρούς. Εἶχε καὶ μετ' αὐτοῦ μερικοὺς ἀπὸ τοὺς ἄρχοντας· καὶ πρὸς τὸ δεξιὸν μέρος ἦτον ἕνας ναὸς τῆς Ὑπεραγίας, καὶ θεωρεῖ ὁ βασιλεὺς μίαν βασίλισσαν ὁποῦ ἔρχονταν ἀπὸ ἔξω μὲ πολλοὺς εὐνούχους καὶ ἐμπῆκε μέσα εἰς τὸν ναόν. Ὑπῆγε γοῦν καὶ ὁ βασιλεὺς μὲ τοὺς ἄρχοντας νὰ ἰδοῦν τί βασίλισσα ἦτον ἐκείνη ὁποῦ ἐμπῆκεν εἰς τὸν ναὸν ἐκεῖνον, καὶ ἐμπῆκαν μέσα. Ἡ δὲ βασίλισσα ἄνοιξε τὴν ὡραίαν πύλην καὶ ἐμπῆκε μέσα, καὶ ἐκάθησεν εἰς τὸ ἱερὸν σύνθρονον καὶ ἔδειξε σχῆμα λυπητικόν. Τότε ἄνοιξε τὸ ὑπεράγιον αὐτῆς στόμα καὶ εἶπε πρὸς τὸν βασιλέα· «Ἀφόντις μοῦ ἐπαράδοσαν ταύτην τὴν ταλαίπωρον Πόλιν, πολλαῖς φοραῖς τὴν ἐγλύτωσα ἀπὸ ὀργαῖς θεϊκαῖς· ἀλλὰ καὶ τώρα ἐπαρακάλεσα τὸν υἱόν μου καὶ θεόν, καὶ ὅμως ἔγινε ἀπόφασις, ὅτι νὰ παραδοθῆτε εἰς τὰς χεῖρας τῶν ἀλλοτρίων, διότι αἱ ἁμαρτίαι τοῦ λαοῦ ἄναψαν τὸν θυμὸν τοῦ θεοῦ. Καὶ λοιπὸν ἄφες τὸ στέμμα τῆς βασιλείας ἐδῶ νὰ τὸ φυλάγω, ἕως νὰ εὐδοκήσῃ ὁ θεὸς νὰ ἔλθῃ ἄλλος νὰ τὸ παραλάβῃ, καὶ σὺ ὕπαγε νὰ ἀποθάνῃς, ὅτι ἔτζι ὥρισεν ὁ θεός». Καὶ ὡς ἤκουσεν ὁ βασιλεύς, ἔγινε περίλυπος, καὶ ἔβγαλε τὸ στέμμα τῆς βασιλείας καὶ τὸ σκῆπτρον ὁποῦ ἐβάστα εἰς τὸ χέρι, καὶ τὰ ἔβαλεν ἐπάνω εἰς τὴν ἁγίαν τράπεζαν· καὶ ἐστάθη μετὰ δακρύων καὶ εἶπεν· «Ὦ δέσποινά μου, ἐπειδὴ διὰ τὰς ἁμαρτίας μου ἐξεγυμνώθηκα τὴν τιμὴν τῆς βασιλείας καὶ χάνω καὶ τὴν ζωήν μου, ἰδοὺ παραδίδωμι καὶ τὴν ψυχήν μου εἰς χεῖράς σου, καθὼς σε ἐπαρέδωκα καὶ τὸ στέφος τῆς βασιλείας». Τότε ἀπεκρίθη ἡ κυρία τῶν ἀγγέλων· «Κύριος ὁ θεὸς νὰ ἀναπαύσῃ τὴν ψυχήν σου μετὰ τῶν ἁγίων αὐτοῦ». Ὁ δὲ βασιλεὺς ἔβαλε μετάνοιαν, καὶ ὑπῆγε νὰ φιλήσῃ τὸ γόνυ αὐτῆς, καὶ ἐκείνη ἔγινεν ἄφαντος μετὰ τῶν εὐνούχων, οἵτινες ἦσαν οἱ ἄγγελοι. Ἀλλὰ

1-2. μερικοὺς Α: λείπει Π 3. ὑπεραγίας Α: παναγίας Π θεωρεῖ Α: θεορεῖ Π 3-4. ἔρχονταν Α: ἔρχετο Π 4. ἐμπῆκε Π: ἐμπῆκεν Α 5. ὑπῆγε Π: ἐπῆγε Α μὲ τοὺς ἔγραψα: μετοὺς Α: μετὰ τοὺς Π 6. ἐκείνη Π: ἐκεῖνη Α ὁποῦ ἐμπήκεν Α: λείπουσι Π 8. ἐκάθησεν Π: ἐκάθισεν Α 10. ἐπαράδοσαν ἔγραψα: ἐπαράδωσαν ΑΠ 11. τώρα ἔγραψα: τῶρα ΑΠ 12. παραδοθῆτε ἔγραψα: παραδωθῆτε ΑΠ 14. ἐδῶ Α: ἐδὼ Π νὰ Α: λείπει Π 16. ἔτζι ὥρισεν ἔγραψα: ἔτζη ὅρισεν ΑΠ 17. ἔβγαλε ἔγραψα: εὔγαλε Π: εὔγαλε Α 19. εἶπεν Α: εἶπα Π 21. παραδίδωμι ἔγραψα: παραδίδωμοι ΑΠ 22. χεῖράς ἔγραψα: χεῖρας ΑΠ 25. ὑπῆγε Π: ἐπῆγε Α

ΙΩΑΝΝΙΝΑ 2006

οὐδὲ τὸ στέμμα οὐδὲ τὸ σκῆπτρον εὑρέθησαν ἐκεῖ ὁποῦ τὸ ἄφησε, διότι τὸ ἐπῆρεν ἡ κυρία Θεοτόκος νὰ τὸ φυλάγῃ ἕως οὗ νὰ γένῃ ἔλεος εἰς τὸ ταλαίπωρον γένος τῶν Χριστιανῶν. Ταῦτα ἐξηγήθησάν τινες Χριστιανοὶ ὕστερον, παρόντες ἐκεῖ ὅπου εἶδαν τὸ θαῦμα. Τότε ἐβγῆκε ὁ βασιλεὺς γεγυμνωμένος τῆς βασιλείας, καὶ ὑπῆγε μετὰ τῶν ἀρχόντων αὐτοῦ, βλέποντες ἀπὸ τὰ τείχη τοὺς ἐχθρούς· καὶ ἐσύναξαν καὶ ἐσυναπαντήθη μὲ μερικοὺς Τούρκους, καί, δώσας πόλεμον μετ' αὐτῶν, ἐνικήθη, καὶ ἔκοψαν αὐτὸν ὁμοῦ μὲ τοὺς ἄρχοντας αὐτοῦ, καὶ ἤφεραν τὴν κεφαλὴν τοῦ ἐλεεινοῦ βασιλέως εἰς τὸν σουλτάνον καὶ ἐχάρη μεγάλως.

---

## 7*

## [Παπᾶ Συναδηνοῦ τοῦ Σερραίου]

### Περὶ τὸ γένος τῶν Ῥωμαίων τὸ πῶς ἐκατασταθήκαμεν καὶ πῶς ἐχάσαμεν τὴν Πόλιν καὶ ὅλα τὰ ἀγαθά.

Ἀλλοίμονον, ἀλλοίμονον 'ςτὸ γένος τῶν Ῥωμαίων,
πῶς ἔγινεν ἀνόσιον καὶ καταφρονεμένον.
Ὢ πῶς ἐκαταστάθητε, τὸ γένος τῶν Ἑλλήνων,
καὶ ἐπεριπλεχθήκετε μέσον πολλῶν κινδύνων.
Ἀπὸ τ' ἐσᾶς ἡ φρόνησις καὶ ἡ σοφία ὅλη

1. ὁποῦ τὸ Π: ὁποῦ τὰ Α 3. ἐξηγήθησάν τινες ἔγραψα: ἐξηγήθησαν τινὲς ΑΠ 4. θαῦμα Π: θαύμα Α 5. ἐβγῆκε ἔγραψα. εὐγῆκε Π: εὐγεῖκε Α ὑπῆγε Π: ἐπῆγε Α 9-10. καὶ ἤφεραν — μεγάλως Α: ὕστερον δὲ ὡσὰν ἐπάρθη ἡ πόλις ἐγίνη ζήτησις διὰ τὸν βασιλέα ὑπὸ τοῦ σουλτάνου, διότι ἐφοβεῖτο νὰ μὴν φύγῃ καὶ πάγει εἰς τὴν φραγγίαν καὶ λάβῃ βοήθειαν καὶ ἔλθῃ καὶ τὸν πολεμήσῃ καὶ ηὗραν τὴν κεφαλὴν τοῦ ἐλεεινοῦ βασιλέως καὶ τὴν ἤφεραν τὸν σουλτάνον· καὶ ἐγνώρισε αὐτὴν ὁ ἄρχων · ὁ ἰμάμ ἀλῆς καὶ οἱ λοιποὶ ἄρχοντες· καὶ πληροφορηθεὶς ὁ σουλτάνος ἐχάρη μεγάλως Π.

* Περιλαμβάνεται ἐν τῷ ὑπ' ἀρ. 153 κώδικι τῆς ἐν Ἁγίῳ ὄρει μονῆς Κουτλουμουσίου ἐν φ. 8α-14α. Εἶνε δὲ ὁ κῶδιξ αὐτόγραφος τοῦ γράψαντος, ὅστις εἶνε πιθανῶς ὁ Σερραῖος παπᾶ Συναδηνός, συντάξας τὸ στιχούργημα ἀρχομένου τοῦ ιζ' αἰῶνος. Ἴδε τὰ περὶ αὐτοῦ γραφέντα ὑπ' ἐμοῦ ἐν τῇ Ἑστίᾳ Τόμ. ΚΒ' (1882) σ. 823 κ.ἑ., ὅπου καὶ ἐξέδωκα τὸ πρῶτον τὸ ποίημα ἄνευ σημειώσεως τῶν ἐν τῷ κώδικι ὀρθογραφικῶν διαφορῶν. 1. (καὶ κατωτέρω πανταχοῦ). ἀλήμονον στὸ (καὶ κατωτέρω στὴ κτλ.) 5. (καὶ κατωτέρω). ἐσὰς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006